UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Scholia graeca in Aristophanem

### Dübner, Friedrich

### Parisiis, 1842

Prolegomena de comoedia

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5255

Visual Library

# PROLEGOMENA

## DE COMOEDIA.

### I.

### ΕΚ ΤΩΝ

## ΠΛΑΤΩΝΙΟΥ

### ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΚΩΜΩΔΙΩΝ.

Καλὸν ἐπισημήνασθαι τὰς αἰτίας δι' ἃς ἡ μὲν ἀρχαία κωμῳδία ἴδιόν τινα τύπον ἔχει, ἡ δὲ μέση διάφορός ἐστι πρὸς ταύτην. ἐπὶ τῶν Ἀριστοφάνους καὶ Κρατίνου καὶ Εὐπόλιδος χρόνων τὰ τῆς δημοκρατίας ἐκράτει παρ' Ἀθηναίοις καὶ τὴν ἐξουσίαν σύμπασαν ὁ δῆμος εἶχεν, αὐτὸς αὐτοκράτωρ καὶ κύριος τῶν πολιτικῶν πραγμάτων ὑπάρχων. τῆς ἰσηγορίας οὖν πᾶσιν ὑπαρχούσης ἄδειαν οἱ τὰς κωμῳδίας συγγράφοντες εἶχον σκώπτειν καὶ στρατηγοὺς καὶ δικαστὰς τοὺς κακῶς δικάζοντας καὶ τῶν πολιτῶν τινὰς ἢ φιλαργύρους ἢ συζῶντας ἀσελγείᾳ. ὁ γὰρ δῆμος, ὡς εἶπον, τὸν φόβον ἐξῄρει τῶν κωμῳδούντων, φιλοτίμως τῶν τοὺς τοιούτους βλασφημούντων ἀκούων. ἴσμεν γὰρ ὡς ἀντίκειται φύσει τοῖς πλουσίοις ἐξ ἀρχῆς ὁ δῆμος καὶ ταῖς δυσπραγίαις αὐτῶν ἥδεται. ἐπὶ τοίνυν τῆς Ἀριστοφάνους καὶ Κρατίνου καὶ Εὐπόλιδος κωμῳδίας ἀφόρητοί τινες κατὰ τῶν ἁμαρτανόντων ἦσαν οἱ ποιηταί. λοιπὸν δὲ τῆς δημοκρατίας ὑποχωρούσης ὑπὸ τῶν κατὰ τὰς Ἀθήνας τυραννούντων καὶ καθισταμένης ὀλιγαρχίας καὶ μεταπιπτούσης τῆς ἐξουσίας τοῦ δήμου εἰς ὀλίγους καὶ κρατυνομένης τῆς ὀλιγαρχίας ἐνέπιπτε τοῖς ποιηταῖς φόβος· οὐ γὰρ ἦν τινὰ προφανῶς σκώπτειν δίκας ἀπαιτούντων τῶν ὑβριζομένων παρὰ τῶν ποιητῶν. ἴσμεν γοῦν τὸν Εὔπολιν ἐπὶ τῷ διδάξαι τοὺς Βάπτας ἀποπνιγέντα εἰς τὴν θάλασσαν ὑπ' ἐκείνου εἰς ὃν καθῆκε τοὺς Βάπτας. καὶ διὰ τοῦτο ὀκνηρότεροι πρὸς τὰ σκώμματα ἐγένοντο καὶ ἐπέλιπον οἱ χορηγοί. οὐ γὰρ ἔτι προθυμίαν εἶχον οἱ Ἀθηναῖοι τοὺς χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας χειροτονεῖν. τὸν γοῦν Αἰολοσίκωνα Ἀριστοφάνης ἐδίδαξεν, ὃς οὐκ ἔχει τὰ χορικὰ μέλη. τῶν γὰρ χορηγῶν μὴ χειροτονουμένων καὶ τῶν χορευτῶν οὐκ ἐχόντων τὰς τροφὰς ὑπεξῃρέθη τῆς κωμῳδίας τὰ χορικὰ μέλη καὶ τῶν ὑποθέσεων ὁ τρόπος μετεβλήθη. σκοποῦ γὰρ ὄντος τῆς ἀρχαίας κωμῳδίας τοῦ σκώπτειν δήμους καὶ δικαστὰς καὶ στρατηγούς, παρεὶς ὁ Ἀριστοφάνης τοῦ συνήθως ἀποσκῶψαι διὰ τὸν πολὺν φόβον, Αἴολον τὸ δρᾶμα, τὸ γραφὲν τοῖς τραγῳδοῖς, ὡς κακῶς ἔχον διασύρει. τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ Αἰολοσίκων Ἀριστοφάνους καὶ οἱ Ὀδυσσεῖς Κρατίνου καὶ πλεῖστα τῶν παλαιῶν δραμάτων οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα.

Παράβασις δέ ἐστι τὸ τοιοῦτο. μετὰ τὸ τοὺς ὑποκριτὰς τοῦ πρώτου μέρους πληρωθέντος ἀπὸ τῆς σκηνῆς ἀναχωρῆσαι, ὡς ἂν μὴ τὸ θέατρον ᾖ κενὸν καὶ ὁ δῆμος ἀργὸς καθέζηται, ὁ χορὸς οὐκ ἔχων πρὸς τοὺς ὑποκριτὰς διαλέγεσθαι ἀπόστροφον ἐποιεῖτο πρὸς τὸν δῆμον. κατὰ δὲ τὴν ἀπόστροφον ἐκείνην οἱ ποιηταὶ διὰ τοῦ χοροῦ ἢ ὑπὲρ ἑαυτῶν ἀπελογοῦντο, ἢ περὶ δημοσίων πραγμάτων εἰσηγοῦντο. ἡ δὲ παράβασις ἐπληροῦτο ὑπὸ μελυδρίου καὶ κομματίου καὶ στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπιρρήματος καὶ ἀντεπιρρήματος καὶ ἀναπαίστων. τὰ μὲν γὰρ ἔχοντα τὰς παραβάσεις κατ' ἐκεῖνον τὸν χρόνον ἐδιδάχθη, καθ' ὃν ὁ δῆμος ἐκράτει· τὰ δὲ οὐκ ἔχοντα τῆς ἐξουσίας λοιπὸν ἀπὸ τοῦ δήμου μεθισταμένης καὶ τῆς ὀλιγαρχίας κρατούσης. οἱ δὲ τῆς μέσης κωμῳδίας ποιηταὶ καὶ τὰς ὑποθέσεις ἤμειψαν καὶ τὰ χορικὰ μέλη παρέλιπον, οὐκ ἔχοντες τοὺς χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χο-

---

I.

Excerpta ex Platonio (I et II) om. V., habet G. Prolegomenis omnino caret R. — ΠΛΑΤΩΝΙΟΥ. Nullam usquam hujus grammatici mentionem factam vidi. Simile, sed longe antiquioris viri nomen est Platonici apud Galenum περὶ τῶν ἰδίων βιβλίων vol. 1, p. 36 : ἐδόθη δὲ καὶ φίλῳ Πλατωνικῷ κατὰ τὴν ἐπιδημίαν ταύτην εἰσαγωγικὰ δύο βιβλία. Qui idem haud dubie est quem Galenus inter præceptores suos memorat vol. 6, p. 532 : ἤκουον φιλοσόφων πολιτῶν, ἐπὶ πλεῖστον μὲν Στωικοῦ Φιλοπάτορος μαθητοῦ, βραχὺν δέ τινα καὶ Πλατωνικοῦ μαθητοῦ Γαΐου. Et sic fortasse Πλατωνίου quoque nomen, sive sic sive Πλατωνικοῦ scribendum, non nomen, sed cognomen est. Dind. — 8 πᾶσιν G. πάσης vulgo. — 9 σκώπτειν G. Vulgo τῷ aut τοῦ σκώπτειν. — 12 τὸν φόβον ἐξῄρει G. Vulgo ἐξῄρει τὸν φόβον. — 26 ἐκείνου εἰς ὃν G. Vulgo ἐκείνων εἰς οὓς. — 32, 33 χορηγῶν—χορευτῶν Brunckii editio. χορευτῶν—χορηγῶν G. Ald. — 35 τρόπος Gelenius in edit. Basil. a. 1547. τόπος G. Ald. Ib. τῆς ἀρχαίας κωμῳδίας Brunckii editio. τῇ ἀρχικωμῳδίᾳ G., codex Laurentianus plutei 31, 4, Ald. τῇ ἀρχαίᾳ κωμῳδίᾳ Kusterus. — 44 prius τὸ om. Brunckii editio. — 46 κενὸν accessit in Brunckii editione. — 47 ἀργὸς G. Vulgo ἀργῶς. — 67 ἦλθεν Brunckii

ρευταῖς παρέχοντας. ὑποθέσεις μὲν γὰρ τῆς παλαιᾶς κωμῳδίας ἦσαν αὗται· τὸ στρατηγοῖς ἐπιτιμᾶν καὶ δικασταῖς οὐκ ὀρθῶς δικάζουσι καὶ χρήματα συλλέγουσιν ἐξ ἀδικίας τισὶ καὶ μοχθηρὸν ἐπανῃρημένοις βίον. ἡ δὲ μέση κωμῳδία ἀφῆκε τὰς τοιαύτας ὑποθέσεις, ἐπὶ δὲ τὸ σκώπτειν ἱστορίας ῥηθείσας ποιηταῖς ἦλθεν. ἀνεύθυνον γὰρ τὸ τοιοῦτον, οἷον διασύρειν Ὅμηρον εἰπόντα τι, ἢ τὸν δεῖνα τῆς τραγῳδίας ποιητήν. τοιαῦτα δὲ δράματα καὶ ἐν τῇ παλαιᾷ κωμῳδίᾳ ἔστιν εὑρεῖν, ἅπερ τελευταῖον ἐδιδάχθη λοιπὸν τῆς ὀλιγαρχίας κρατυνθείσης. οἱ γοῦν Ὀδυσσεῖς Κρατίνου οὐδενὸς ἐπιτίμησιν ἔχουσι, διασυρμὸν δὲ τῆς Ὀδυσσείας τοῦ Ὁμήρου. τοιαῦται γὰρ αἱ κατὰ τὴν μέσην κωμῳδίαν ὑποθέσεις εἰσίν. μύθους γάρ τινας τιθέντες ἐν ταῖς κωμῳδίαις τοῖς παλαιοτέροις εἰρημένους διέσυρον ὡς κακῶς ῥηθέντας· καὶ τὰς παραβάσεις παρῃτήσαντο, διὰ τὸ τοὺς χοροὺς ἐπιλεῖψαι, χορηγῶν οὐκ ὄντων. οὐ μὴν οὐδὲ τὰ προσωπεῖα ὁμοιοτρόπως τοῖς ἐν τῇ παλαιᾷ κωμῳδίᾳ κατεσκευασμένοις εἰσῆγον. ἐν μὲν γὰρ τῇ παλαιᾷ εἴκαζον τὰ προσωπεῖα τοῖς κωμῳδουμένοις, ἵνα, πρίν τι καὶ τοὺς ὑποκριτὰς εἰπεῖν, ὁ κωμῳδούμενος ἐκ τῆς ὁμοιότητος τῆς ὄψεως κατάδηλος ᾖ· ἐν δὲ τῇ μέσῃ καὶ νέᾳ κωμῳδίᾳ ἐπίτηδες τὰ προσωπεῖα πρὸς τὸ γελοιότερον ἐδημιούργησαν, δεδοικότες τοὺς Μακεδόνας καὶ τοὺς ἐπηρτημένους ἐξ ἐκείνων φόβους, ἵνα μηδὲ ἐκ τύχης τινὸς ὁμοιότης προσώπου συμπέσῃ τινὶ Μακεδόνων ἄρχοντι καὶ δόξας ὁ ποιητὴς ἐκ προαιρέσεως κωμῳδεῖν δίκας ὑπόσχῃ. ὁρῶμεν γοῦν τὰ προσωπεῖα τῆς Μενάνδρου κωμῳδίας τὰς ὀφρῦς ὁποίας ἔχει καὶ ὅπως ἐξεστραμμένον τὸ στόμα καὶ οὐδὲ κατ' ἀνθρώπων φύσιν.

## II.

### ΤΟΥ ΑΥΤΟΥ

### ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΧΑΡΑΚΤΗΡΩΝ.

Κρατῖνος ὁ τῆς παλαιᾶς κωμῳδίας ποιητής, ἅτε δὴ καὶ τὰ τοῦ Ἀρχιλόχου ζηλώσας, αὐστηρὸς μὲν ταῖς λοιδορίαις ἐστίν. οὐ γὰρ ὥσπερ ὁ Ἀριστοφάνης ἐπιτρέχειν τὴν χάριν τοῖς σκώμμασι ποιεῖ, τὸ φορτικὸν τῆς ἐπιτιμήσεως διὰ ταύτης ἀναιρῶν, ἀλλ' ἁπλῶς καὶ κατὰ τὴν παροιμίαν γυμνῇ τῇ κεφαλῇ τίθησι τὰς βλασφημίας κατὰ τῶν ἁμαρτανόντων. πολὺς δὲ καὶ ταῖς τροπαῖς τυγχάνει. εὔστοχος δὲ ὢν ἐν ταῖς ἐπιβολαῖς τῶν δραμάτων καὶ διασκευαῖς, εἶτα προϊὼν καὶ διασπῶν τὰς ὑποθέσεις οὐκ ἀκολούθως πληροῖ τὰ δράματα. Εὔπολις δὲ εὐφάντασος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται, καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν, ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ Ἅδου νομοθετῶν πρόσωπα, καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως. ὥσπερ δέ ἐστιν ὑψηλός, οὕτω καὶ ἐπίχαρις καὶ περὶ τὰ σκώμματα λίαν εὔστοχος. ὁ δὲ Ἀριστοφάνης τὸν μέσον ἐλήλακε τῶν ἀνδρῶν χαρακτῆρα. οὔτε γὰρ πικρὸς λίαν ἐστὶν ὥσπερ ὁ Κρατῖνος, οὔτε χαρίεις ὥσπερ ὁ Εὔπολις, ἀλλ' ἔχει καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὸ σφοδρὸν τοῦ Κρατίνου καὶ τὸ τῆς ἐπιτρεχούσης χάριτος Εὐπόλιδος.

## III.

### ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τὴν κωμῳδίαν ηὑρῆσθαί φασιν ὑπὸ Σουσαρίωνος· τὴν δὲ ὀνομασίαν ἔχειν οἱ μὲν ὅτι ἐπὶ τὰς κώμας περιιόντες ᾖδον καὶ ἐπεδείκνυντο, μήπω πόλεων οὐσῶν, ἀλλ' ἐν κώμαις οἰκούντων τῶν ἀνθρώπων, οἱ δὲ ἀντιλέγοντές φασι μὴ κώμας καλεῖσθαι παρὰ Ἀθηναίοις, ἀλλὰ δήμους, καὶ κωμῳδίαν αὐτὴν καλοῦσιν, ἐπεὶ ἐν ταῖς ὁδοῖς ἐκώμαζον. τὴν αὐτὴν δὲ καὶ τρυγῳδίαν φασὶ διὰ τὸ τοῖς εὐδοκιμοῦσιν ἐπὶ τῷ Ληναίῳ γλεῦκος δίδοσθαι, ὅπερ ἐκάλουν τρύγα, ἢ ὅτι μήπω προσωπείων ηὑρημένων τρυγὶ διαχρίοντες τὰ πρόσωπα ὑπεκρίνοντο. γεγόνασι δὲ μεταβολαὶ κωμῳδίας τρεῖς· καὶ ἡ μὲν ἀρχαία, ἡ δὲ νέα, ἡ δὲ μέση. οἱ μὲν οὖν τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ οὐχ ὑποθέσεως ἀληθοῦς, ἀλλὰ παιδείας εὐτραπέλου γινόμενοι ζηλωταὶ τοὺς ἀγῶνας ἐποίουν. καὶ φέρεται αὐτῶν πάντα τὰ δράματα τξε' σὺν τοῖς ψευδεπιγράφοις. τούτων δέ εἰσιν ἀξιολογώτατοι Ἐπίχαρμος, Μάγνης, Κρατῖνος, Κράτης, Φερεκράτης, Φρύνιχος, Εὔπολις, Ἀριστοφάνης.

Ἐπίχαρμος. οὗτος πρῶτος τὴν κωμῳδίαν διερριμμένην ἀνεκτήσατο πολλὰ προσφιλοτεχνήσας. χρόνοις δὲ γέγονε κατὰ τὴν ογ' Ὀλυμπιάδα, τῇ δὲ ποιήσει γνωμικὸς καὶ εὑρετικὸς καὶ φιλότεχνος. σώζεται δὲ αὐτοῦ δράματα μ', ὧν ἀντιλέγονται δ'.

Μάγνης δὲ Ἀθηναῖος ἀγωνισάμενος Ἀθήνησι νίκας ἔσχεν ια'. τῶν δὲ δραμάτων αὐτοῦ οὐδὲν σώζεται. τὰ δὲ ἐπιφερόμενά ἐστιν ἐννέα.

Κρατῖνος Ἀθηναῖος νικᾷ μετὰ τὴν πε' Ὀλυμπιάδα,

---

editio. ἦλθον G. Ald. — 69 κωμῳδίᾳ om. G. — 73 τοῦ om. Brunckii editio. — 77 χορούς—χορηγῶν G. Vulgo χορηγούς—χορῶν. — 78 τοῖς om. G. — 82 ἐκ τινὸς ὁμοιότητος G. — 86 μηδὲ G. δὲ μὴ Ald.— 89, 90 γοῦν τὰς ὀφρῦς ἐν τοῖς προσώποις τῆς Μενάνδρου κωμῳδίας ὁποίας G. Ald. Correctum in ed. Brunckii.

1 κωμῳδίας om. G. — 2 καὶ τὰ τοῦ Ἀρχιλόχου ζηλώσας. Legebatur κατὰ τὰς Ἀρχιλόχου (ἀρχιλόχους cod. Laur. 31, 4) ζητήσεις. Correxit Hemsterhus. apud Geel. Bibl. crit. novae vol. 4, p. 8. Vide Cobeti Observv. critt. in Platon. com. p. 4. — 8 ταῖς τροπαῖς G. τῆς τροπῆς Ald. — 14 ἐκεῖνος. Addendum videtur κινεῖ. Dind. — 17 ἢ περὶ καταλύσεως Laur. 31, 4. — 18 σκώμματα Meinek. Hist. Com. p. 108. Legebatur σκέμματα.

III.

Sectiones III et IV om. V. et G. — 19 Ἐπίχαρμος addidit Dindorfius. — 27 κατὰ τὴν πα' Ὀλ. conj. Meinekius

τελευτᾷ δὲ Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν εἰσβαλόντων τὸ πρῶτον, ὥς φησιν Ἀριστοφάνης [Pac. 702]·

ὡρακιάσας· οὐ γὰρ ἐξηνέσχετο
ἰδεῖν πίθον καταγνύμενον οἴνου πλέων.

γέγονε δὲ ποιητικώτατος, κατασκευάζων εἰς τὸν Αἰσχύλου χαρακτῆρα. φέρεται δὲ δράματα αὐτοῦ κα΄.

Κράτης Ἀθηναῖος. τοῦτον ὑποκριτήν φασι γεγονέναι τὸ πρῶτον, ὃς ἐπιβέβληκε Κρατίνῳ, πάνυ γελοῖος καὶ ἱλαρὸς γινόμενος, καὶ πρῶτος μεθύοντας ἐν κωμῳδίᾳ προήγαγε. τούτου δράματά ἐστιν ἑπτά.

Φερεκράτης Ἀθηναῖος νικᾷ ἐπὶ θεάτρου, γενόμενος δὲ ὑπόπικρος ἐζήλωκε Κράτητα, καὶ αὖ τοῦ μὲν λοιδορεῖν ἀπέστη, πράγματα δὲ εἰσηγούμενος καινὰ ηὐδοκίμει, γενόμενος εὑρετικὸς μύθων.

Φρύνιχος ***φράδμονος ἔθανεν ἐν Σικελίᾳ.

Εὔπολις Ἀθηναῖος ἐδίδαξεν ἐπὶ ἄρχοντος Ἀπολλοδώρου, ἐφ' οὗ καὶ Φρύνιχος, γεγονὼς δυνατὸς τῇ λέξει καὶ ζηλῶν Κρατῖνον, πολύ γε λοίδορον καὶ σκαιὸν ἐπιφαίνει. Γέγραπται δὲ αὐτῷ δράματα ιδ΄.

Ἀριστοφάνης Φιλίππου, Ἀθηναῖος, μακρῷ λογιώτατος Ἀθηναίων, καὶ εὐφυΐᾳ πάντας ὑπεραίρων, ζηλῶν δὲ Εὐρίπιδην, τοῖς δὲ μέλεσι λεπτότερος. ἐδίδαξε δὲ πρῶτος ἐπὶ ἄρχοντος Διοτίμου διὰ Καλλιστράτου. τὰς μὲν γὰρ πολιτικὰς τούτῳ φασὶν αὐτὸν διδόναι, τὰ δὲ κατ' Εὐριπίδου καὶ Σωκράτους Φιλωνίδῃ. διὰ δὲ τοῦτο νομισθεὶς ἀγαθὸς ποιητὴς τοὺς λοιποὺς ἐπιγραφόμενος ἐνίκα. ἔπειτα τῷ υἱῷ ἐδίδου τὰ δράματα, ὄντα τὸν ἀριθμὸν νδ΄· ὧν νόθα δ΄.

Τῆς δὲ μέσης κωμῳδίας οἱ ποιηταὶ πλάσματος μὲν οὐχ ἥψαντο ποιητικοῦ, διὰ δὲ τῆς συνήθους ἰόντες λαλιᾶς λογικὰς ἔχουσι τὰς ἀρετάς, ὥστε σπάνιον ποιητικὸν εἶναι χαρακτῆρα παρ' αὐτοῖς. κατασχολοῦνται δὲ πάντες περὶ τὰς ὑποθέσεις. τῆς μὲν οὖν μέσης κωμῳδίας εἰσὶ ποιηταὶ νζ΄, καὶ τούτων δράματα χιζ΄. τούτων δέ εἰσιν ἀξιολογώτατοι Ἀντιφάνης καὶ Στέφανος. Ἀντιφάνης μὲν οὖν Στεφάνου Ἀθηναῖος, καὶ ἤρξατο διδάσκειν μετὰ τὴν ϟη΄ Ὀλυμπιάδα. καί φασιν αὐτὸν γενέσθαι μὲν τῶν ἀπὸ Θεσσαλίας ἐκ Λαρίσσης, παρεγγραφῆναι δὲ εἰς τὴν Ἀθηναίων πολιτείαν ὑπὸ Δημοσθένους. γενέσθαι δὲ λέγουσιν αὐτὸν εὐφυέστατον εἰς τὸ γράφειν καὶ δραματοποιεῖν. ἐτελεύτησε δὲ ἐν Χίῳ καὶ τὰ ὀστᾶ αὐτοῦ εἰς τὰς Ἀθήνας μετηνέχθη. τῶν δὲ κωμῳδιῶν αὐτοῦ τινὰς καὶ ὁ Στέφανος ἐδίδαξεν. ἔστι δὲ αὐτοῦ δράματα σξ΄.

Τῆς δὲ νέας κωμῳδίας γεγόνασι μὲν ποιηταὶ ξδ΄, ἀξιολογώτατοι δὲ τούτων Φιλήμων, Μένανδρος, Δίφιλος, Φιλιππίδης, Ποσείδιππος, Ἀπολλόδωρος. Φιλήμων μὲν οὖν Δάμωνος Συρακούσιος, μετέσχε δὲ τῆς τῶν Ἀθηναίων πολιτείας, ἐδίδαξε δὲ πρὸ τῆς ριγ΄ Ὀλυμπιάδος. σώζεται δὲ αὐτοῦ δράματα ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα. Μένανδρος δὲ Διοπείθους υἱὸς, Ἀθηναῖος, λαμπρὸς καὶ βίῳ καὶ γένει, συνδιατρίψας δὲ τὰ πολλὰ Ἀλέξιδι, ὑπὸ τούτου δοκεῖ παιδευθῆναι. ἐδίδαξε δὲ πρῶτος ἔφηβος ὢν ἐπὶ Φιλοκλέους ἄρχοντος. γέγονε δ' εὐφυέστατος πάνυ. γέγραφε δὲ πάντα δράματα ρη΄. τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν ὑπάρχων νδ΄. Δίφιλος Σινωπεὺς κατὰ τὸν αὐτὸν χρόνον ἐδίδαξε Μενάνδρῳ. τελευτᾷ δὲ ἐν Σμύρνῃ. δράματα δὲ αὐτοῦ ρ΄.

## IV.

## ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τὸ παλαιὸν οἱ ἐν ταῖς κώμαις ἀδικούμενοι ὑπὸ τῶν

---

Hist. Com. p. 45. Qui numerum olympiadis corruptum esse recte animadvertit: sed μετὰ corruptum ex κατὰ esse demonstrari nequit, quum hic scriptor infra Antiphanis et Philemonis ætatem similiter designaverit. DIND. — 37 παρήγαγε Meinekius Hist. Com. p. 530. — 38 ἐπὶ Θεοδώρου (i. e. olymp. 85, 3) Dobræus, probantibus Dindorfio et Meinekio Hist. Com. p. 66. Sequentia egregie correxit Dindorfius comparato Aristot. Poet. c. 5, 5: τῶν δὲ Ἀθήνησι Κράτης πρῶτος ἦρξεν, ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας, καθόλου λόγους ἢ μύθους ποιεῖν. Legebatur γινόμενος, ὁ δὲ ὑποκριτὴς ἐζ. — 42 Hæc spectant ad Phrynichum tragicum, de quo obiter hoc loco egerat scriptor. De Phrynicho comico quæ idem attulerat, exciderunt omnia. MEINEK. Hist. Com. p. 530. Postrema verba fortasse fuerunt, ὁ δ' ὁμώνυμος αὐτῷ τραγικὸς Φρύνιχος Πολυφράδμονος ἔθανεν ἐν Σ. DIND. — 45 scrib. videtur πλήν γε. Deinde Geelius Bibl. crit. nov. vol. 4, p. 13, καὶ αἰσχρόν. Addendum fortasse αὐτόν. DIND. — 46 ἀποφαίνει Dobræus. — 47 μακρῷ λογιώτατος Bentleius. Legebatur μακρολογώτατος. — 48 legebatur ζήλῳ. — 50 πρῶτος dixit pro πρῶτον, more recentiorum scriptorum. Infra l. 81: ἐδίδαξε δὲ πρῶτος ἔφηβος ὢν ἐπὶ Διοκλέους ἄρχοντος. Schol. Aristoph. Eq. 534: ὃς πρῶτος ὑπεκρίνατο τὰ Κρατίνου καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο. Georg. Syncell. vol. 1, p. 483, 12 (et Chron. Pasch. p. 303, 10): Σοφοκλῆς τραγῳδοποιὸς πρῶτος ἐδιδάξατο· p. 502, 4: πρῶτος Θρᾴκης καὶ Ἑλλάδος κρατήσας· p. 538: πρῶτος—ἐβασίλευσεν, εἶτα—ἐξεβλήθη. Chron. Pasch. p. 476, 6: ὁ ἐν Ῥόδῳ κολοσσὸς πρῶτος ἐκινήθη. ubi L. Dindorfius Pausaniæ locum contulit 1, 22, 3: καὶ Φαίδρα πρώτη ἐνταῦθα εἶδεν Ἱππόλυτον. DIND. Ib. Διοτίμου Scaliger ad Euseb. p. 128. Vulgo Φιλοτίμου. Fuit ille archon eponymus olymp. 88, 1. — 51 τούτῳ Petitus Miscell. p. 2. τοῦτον vulgo. — 53 scribendum τοῦ λοιποῦ: nisi ἀγῶνας intellexit. DIND. — 55 imo μδ΄. DIND. — 56 οἱ ποιηταὶ Meinekius Quæst. scen. 2, p. 4. Vulgo δύο ποιηταί. — 62 ωιζ΄ Meinekius Hist. Com. p. 271. — 63 Στέφανος. Persuasum habeo excidisse quædam et pro *Stephano* reponendum *Alexin*. Quod magnopere confirmatur ex mentione Demosthenis, qui Diopithi, Alexidis fratri, favebat, ut notum est. DOBRÆUS. Conf. Meinek. Hist. Com. p. 304. — 69 ἐν Κίῳ Suidas s. v. Ἀντιφάνης, quod volebat Meinek. l. c. — 71 post σξ΄ exciderunt quæ de Alexide scripserat auctor. MEINEK. — 78 ἐννενήκοντα Ald. — 81 Φιλοκλέους Clinton. Fast. Hell. vol. 2, p. 165. Legebatur Διοκλέους. Eusebius olymp. 114, 4: *Menander primam fabulam cognomento Orgen docens superat.* — 83 νδ΄ Bekkerus. Vulgo νζ΄. — 85. Hic quoque exciderunt ea quæ de Philippide, Posidippo et Apollodoro auctor commentatus erat. MEINEK.

IV.

Comparanda cum his sect. IX.

πολιτῶν νυκτὸς ἀπήρχοντο παρὰ τὸν δῆμον ἐκεῖνον ἔνθα ὁ ἀδικήσας ἦν, καὶ ἔλεγον ὅτι ἔστι τις ἐνταῦθα ποιῶν εἰς τοὺς γεωργοὺς τάδε. καὶ τοῦτο ποιοῦντες ὑπεχώρουν λέγοντες καὶ τοὔνομα. μεθ' ἡμέραν δὲ ὁ δράσας ἐξητάζετο, καὶ οὕτως αἰσχυνάμενος ἀνεστέλλετο τοῦ ἀδικεῖν. ὁρῶντες οὖν οἱ πολῖται τοῦτο χρήσιμον τῇ πόλει καὶ ἀδικίας ἀποτρεπτικὸν, ἐκέλευσαν τοὺς ἀδικουμένους ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικήσαντας κωμῳδεῖν. οἱ δὲ δεδιότες αὖ τοὺς τότε πλουσίους, πηλῷ χρίοντες καὶ τρυγίᾳ, ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικοῦντας ἐκωμῴδουν. ἐπεὶ δὲ μεγάλα ἡ πόλις ὠφελεῖτο ἐκ τούτου, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν ὃν ἂν βούλωνται ἀκωλύτως. ἐπεὶ δὲ ἡ κακία προέκοπτεν, οἱ πλούσιοι καὶ οἱ ἄρχοντες μὴ βουλόμενοι κωμῳδεῖσθαι, τοῦ μὲν φανερῶς κωμῳδεῖν ἐκώλυσαν, ἐκέλευσαν δὲ κρύφα, οἷον αἰνιγματωδῶς. εἶτα δὴ καὶ τοῦτο ἐκώλυσαν, καὶ πτωχοὺς ἔσκωπτον, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὐκέτι. γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτος ὁ Ἀριστοφάνης καὶ Εὔπολις, τῆς δὲ δευτέρας Πλάτων, τῆς δὲ τρίτης Μένανδρος. κωμῳδία οὖν, ἢ ὅτι οἱ ἀπὸ κωμῶν συναγόμενοι ᾖδον ταῦτα· ἢ ὅτι ἐν καιρῷ κώματος ᾖδον· ἔστι δὲ ταύτην εἰπεῖν καὶ τραγῳδίαν, οἱονεὶ τρυγῳδίαν τινὰ οὖσαν, ὅτι τρυγίᾳ χριόμενοι ἐκωμῴδουν. καὶ τῆς μὲν τραγῳδίας τὸ εἰς ἔλεον κινῆσαι τοὺς ἀκροατὰς ἴδιον, τῆς δὲ κωμῳδίας τὸ εἰς γέλωτα. διό φασιν ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησιν.

## V.

### ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τῆς κωμῳδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. τῆς δὲ νέας διαφέρει ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔχει, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου, ἐνίοτε δὲ ἐπιτηδεύει καὶ λέξεις τινάς. ὕλῃ δὲ καθὸ ἡ μὲν * * * * μέτρῳ δὲ καθὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον στρέφεται περὶ τὸ ἰαμβικὸν, σπανίως δὲ μέτρον ἕτερον, ἐν δὲ τῇ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δὲ, ὅτι ἐν μὲν τῇ νέᾳ χοροῦ οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ δεῖ. καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει. καὶ γὰρ οἱ ἐν Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας (ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα) καὶ τὰ πρόσωπα εἰσῆγον ἀτάκτως, καὶ μόνος ἦν γέλως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ ὁ Κρατῖνος κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, συστήσας τὴν ἀταξίαν καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράττοντας διαβάλλων καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ἠρέμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τῆς μεθ' ἑαυτοῦ τὴν κωμῳδίαν ἐνέλαμψεν ἐν ἅπασιν ἐπίσημος ὀφθεὶς οὕτω, καὶ οὕτω πᾶσαν κωμῳδίαν ἐμελέτησε. καὶ γὰρ τὸ τούτου δρᾶμα ὁ Πλοῦτος νεωτερίζει κατὰ τὸ πλάσμα· τήν τε γὰρ ὑπόθεσιν οὐκ ἀληθῆ ἔχει καὶ χορῶν ἐστέρηται, ὅπερ τῆς νεωτέρας ὑπῆρχε κωμῳδίας.

## VI.

### ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Ὅτι ὁ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν. ἐκ μὲν τῆς λέξεως κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενος οἷον τὸ μέτρον. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ [Ran. 1157] ἥκω καὶ κατέρχομαι· ταυτὸν γάρ ἐστιν. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι χρήσηται. τέταρτον κατὰ παρωνυμίαν, ὅταν τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται, ὡς τὸ, Μώμαξ καλοῦμαι Μίδας. πέμπτον κατὰ ὑποκορισμὸν, ὡς τὸ [Nub. 223] Σωκρατίδιον, Εὐριπίδιον [Ach. 475]. ἕκτον κατὰ ἐναλλαγὴν, ὡς τὸ, ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ

10 δὲ addidit Kust. Ib. legebatur αὐτούς. —19 οὐκέτι Dindorfius. Legebatur τι. οὐ Kusterus.—22 sqq. Tzetz. Proleg. in Lycophr. p. 255 ed. Müller.: διαφέρει δὲ καὶ κατὰ τοῦτο τραγῳδία καὶ κωμῳδία, ὅτι ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. κωμῳδία δὲ ἐκλήθη ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος ἤτοι τοῦ ὕπνου εὑρέθη, ἢ ὅτι ἐν ταῖς κώμαις, τοῦτ' ἔστιν ἐν ταῖς στενωπαῖς, ἢ ὅτι ἐν τοῖς κώμοις καὶ πότοις τοῦ Διονύσου εὑρέθη. — κωμῳδοὶ πραττόμενοι, Κρατῖνος, Πλάτων, Εὔπολις, Φερεκράτης, Ἀριστοφάνης καὶ ἕτεροι, καὶ νέοι Μένανδρος, Φιλήμων, Φιλιστίων (Φιλιππίδης Meinek.) καὶ πλῆθος πολύ. — 26 legebatur ἀκροατάς. δία (sic) τῆς. Vulgo editum ἀκροατὰς, τῆς.

V.

Comparanda sect. IX. — 2 verba τὸ δὲ μέσον delenda videntur. Apertum est ex sequentibus, qui hæc commentatus est ex eorum fuisse numero grammaticorum, qui in duas ætates Atticæ comœdiæ historiam dispescerent. Meinek. Hist. Com. p. 539. — 7 λόγου V. λέγειν vulgo. — 8 ἐπιτηδεύουσι λέξεις V. — 8-10 legebatur ὕλῃ δὲ καθὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον. Indicavi lacunam, addidique μέτρῳ δὲ καθὸ ἡ μέν. Lacunam probabiliter explet Meinekius l. c. his verbis, νέα οὐκ ἀληθεῖς ἔχει τὰς ὑποθέσεις, ἡ δὲ παλαιὰ ἀληθεῖς. Dind. — 16 Σουσαρίωνα Meinekius Hist. Com. p. 25. Legebatur Σαννυρίωνα. — 19 στήσας (non συστ.), 21 προσέθειχε, 23 καὶ οὕτως, 29 ὑπόθεσιν ὡς ἀληθῆ καὶ χοροῖς εἰσέρηκεν V. — 30 νεωτέρας V. νέας vulgo.

VI.

Comparanda sect. IX. — 4 διαφορούμενος (διαφερουμένοις V.) οἷον τὸ μέτρον. Corrupta hæc vix expediri poterunt nisi invento loco Comici ex quo excerpta sunt. Non satisfacit Dobræi conjectura ὥστε διάφορα εἶναι τὰ νοούμενα, οἷον τὸ μέτρον, ut ad Nub. 641 respiciatur. Dind. Ib. δεύτερον κατὰ V. δεύτερον δὲ κατὰ vulgo. δεύτερον δὲ ὡς ὅταν τίς τῷ αὐτῷ ὀνόματι χρήσηται· τέταρτον κατὰ παρωνυμίαν, ὅταν—Laur. 31, 4. — 7 περιωνυμίαν ed. Juntina a. 1525. — 8 Μώμαξ fort. pro βώμαξ scriptum. Dind. μῶξ Laur. 31, 4.—9 Μειδίας Meinekius Hist. Com. p. 540, recte, ut videtur. Sunt fortasse Aristophanis verba. Dind. Ib. κατὰ ὑπο

ἀποκορισμὸν V. — 11 ἐναλλαγὴν V. ἐξαλλαγὴν vulgo. De

Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως τούτῳ γίνεται ἡ φωνὴ, ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο. πρῶτον κατὰ ἀπάτην, ὡς [Nub. 145] Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψύλλης λόγους. δεύτερον κατὰ ὁμοίωσιν. ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς [Ranis] ὁ Ξανθίας εἰς Ἡρακλέα, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν.

## VII.

Ὁ χορὸς ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ, τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, πρὸς τὴν σκηνὴν ἀφεώρα, ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξήει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον ἀποδόντες πάλιν τετράμετρα ἐπέλεγον ἴσων στίχων. ἦν δὲ ἐπὶ τὸ πλεῖστον ις'. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν [507] « Εἰ μέν τις « ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς ἠνάγ- « καζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι. »

## VIII.

### ΤΩΝ ΤΗΣ ΑΡΧΑΙΑΣ ΚΩΜΩΔΙΑΣ ΠΟΙΗΤΩΝ ΟΝΟΜΑΤΑ ΚΑΙ ΔΡΑΜΑΤΑ.

Θεοπόμπου δράματα ιζ'.
Στράττιδος δράματα ις'.
Φερεκράτους δράματα ιη'.
Κράτητος δράματα η'.
Πλάτωνος δράματα κη'.
Τηλεκλείδου δράματα ς'.
Φρυνίχου δράματα ι'.

## IX a.

### ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

(*Ex codice Parisino edidit Cramerus, Anecdot. Parisin. vol.* 1, *p.* 3 *seqq.*)

Κωμῳδίαι λέγονται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ τοῦ Ἀριστοφάνους, Κρατίνου, Μενάνδρου καὶ τῶν ὁμοίων. εὕρηται δὲ ἡ κωμῳδία, ὥς φασίν, ἐξ αἰτίας τοιαύτης. Τὸ παλαιὸν ἐν ταῖς κώμαις ἀδικούμενοί τινες ὑπὸ τῶν Ἀθήνησι πολιτῶν, καὶ θέλοντες ἐλέγχειν αὐτοὺς, κατήεσαν εἰς τὴν πόλιν· καὶ νυκτὸς καθευδόντων πάντων, παριόντες παρὰ τὰς ἀγυιὰς ἔλεγον ἀνωνύμως τὰς βλάβας ἃς ὑπέσχον ὑπ' αὐτῶν, τοιαῦτα λέγοντες· « ἐνταῦθα μένει τις τάδε καὶ τάδε ποιῶν τισὶ τῶν γεωργῶν, καὶ οὐ μετρίας βλάβας ἐπιφέρει αὐτοῖς· » ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γιγνομένης πρὸς ἀλλήλους λέγειν ἃ νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τοῦτο τῷ ἀδικοῦντι· ὥστε καὶ πολλάκις τῶν ἀδικούντων τὸ τοιοῦτο διορθώσεως γέγονεν αἴτιον αἰσχυνομένους τὴν ὕβριν· ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν ἀγροίκων· καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου ταῦτα ποιεῖν. οἱ δὲ δειλιῶντες τοῦτο ποιεῖν ἐπιφανῶς τρύγα (τρυγίᾳ?) περιχρίοντες τὰς ἑαυτῶν ὄψεις, οὕτως εἰσῄεσαν· ὅθεν κἀκ τούτου μᾶλλον τῶν ἀδικούντων ἐλεγχομένων ἐπὶ θεάτρου, συστολὴ τῶν ἀδικιῶν ἐγένετο. ἐπειδὴ δὲ ἡ πόλις ἐκ τούτου μεγάλας ἀπήλαυσεν ὠφελείας, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν οὓς ἂν βούλωνται ἀκωλύτως. Πρῶτον οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας γέγονεν ἀρχηγός· οὗ τὰ μὲν ποιήματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι ἐπὶ μνήμῃ φέρονται τούτου· εἰσὶ δὲ οὗτοι·

Ἀκούετε λεώς, Σουσαρίων λέγει τάδε,

---

Βδεῦ δέσποτα vide Dindorf. ad Lysistr. v. 940. — 12 τοῦτο V. — 16 legebatur ψυχῆς, ex Nubium loco correctum.

VII.

Hæc in Argumento Nubium repetunt codex Venetus et Ald.: unde excerptam lectionis diversitatem codicis Veneti litera *m*, editionis Aldinæ litera *n*, designando. Dind. Præterea in *n* intellige consensum membr. Brunckii s. codicis Regii 2712. — 1 εἰσέρχετο n, sed εἰσήγετο m. — 2 λογίῳ libri. — 3 εἰς τὴν σκ. ἑώρα n. — 4 καὶ τοὺς ἀν. δ. καὶ πρὸς n. καὶ τὰ πρὸς m. et Reg. — 7 ἀποδόντες n. προσᾴδοντες V. Ald. Ib. τετράμετρον n. Ib. ἴσων στίχων n. εἰς ὧν στίχος V. Ald. — 8 περὶ τὸ πλ. n. — 10 ἐν Εἰρήνῃ V. Ib. Ἦν μὲν n., sed εἰ μὲν m. et Reg. κωμῳδιδάσκαλος V. ὃς ἡμᾶς n., sed ὃς om. m. et Reg. Deinde ἠνάγκαζε λέξοντας ἔπη πρὸς (κατὰ m.) — n. ἠνάγκασεν ἐπὶ V. Ald. θέατρον V. n. μέτρον Ald. παραβάντας V.

VIII.

Hæc om. V. In fine sequuntur in editione Aldina hæc, loco inserta plane alieno: Ὅτι κατὰ τρόπους δέκα διαφέρει τὸ ἑλληνίζειν τοῦ ἀττικίζειν. κατὰ ἀναλογίαν. παρὰ τὴν ἐτυμολογίαν. παρὰ τὰ σχήματα. παρὰ τὸν σχηματισμὸν τῶν ὀνομάτων. παρὰ τὴν ἀλληγορίαν. παρὰ τοὺς ἀριθμούς. παρὰ τὰ γένη. παρὰ τὰ πνεύματα. παρὰ τοὺς χρόνους. παρὰ τοὺς τόνους. παρὰ μὲν τὴν ἀναλογίαν καὶ ἐτυμολογίαν, ὅτι οἱ μὲν ἑλληνίζοντες τούτοις μάλιστα χρῶνται, οἱ δὲ ἀττικίζοντες οὐδ' ὅλως. παρὰ τὰ σχήματα, ἐπεὶ πάλιν ἔθος τοῖς Ἀττικοῖς χρῆσθαι σχήμασι, τοῖς δὲ ἑλληνίζουσιν οὐκ ἔτι. παρὰ δὲ τὸν σχηματισμὸν, ἐπειδὴ κατὰ πολλοὺς χρόνους ἐκ τῆς Ἑλληνικῆς συνηθείας μετασχηματίζεται τὰ ὀνόματα. παρὰ δὲ τοὺς χρόνους, ὅτι συστελλόντων τινὰ τῶν ἑλληνιζόντων, αὐτοὶ ἐκτείνουσι μᾶλλον ἢ συστέλλουσι. παρὰ δὲ τὰ πνεύματα, ἐπεὶ δασύνουσιν ἔνια ψιλούντων, ἢ ψιλοῦσι δασυνόντων. παρὰ δὲ τὰ γένη, ἐπειδὴ θηλυκῶς τινα λεγόντων, ἢ οὐδετέρως, αὐτοὶ προφέρονται, ἢ ἀνάπαλιν ἀρσενικῶς ἢ οὐδετέρως ἐκφέρουσι. παρὰ τοὺς ἀριθμοὺς, ἐπειδὴ ἑνικῶς τινα λεγόντων, πληθυντικῶς λέγουσιν, ἢ καὶ ἀνάπαλιν.

IX. a.

Codex est chartaceus, recens, Regiæ bibliothecæ 2677. Priora l. 1—99 et 1—13 comparanda sunt cum sectionibus IV, V, VI et IX b, quæ continent eadem minus integra. Iidem versus 112 exstant etiam in Regio codice 2821, cujus a Dübnero collati varietatem annotamus. — 2 Μενάνδρου, Ἀρ., Κρατίνου, 3 εὑρέθη, 5 ἐν Ἀθήνησι, 6 ἐν τῇ πόλει, 8 ἃς ἔπασχον, 11 ἐπιφέρων, 14 πολλοῖς τῶν, 15 αἰσχυνομένοις, 18 τοῦτο ποιεῖν, 22 ἐγίνετο, 29 Ἀκούετε

υἱὸς Φιλίνου, Μεγαρόθεν, Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

ἀρχὴν οὖν λαβόντος τοῦ πράγματος, πολλοὶ γεγόνασι κωμικοὶ ἐλέγχοντες τοὺς κακῶς βιοῦντας καὶ ἀδικίαις χαίροντας. καὶ ἐντεῦθεν ὠφέλουν κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. ἐπεὶ δὲ τὸ μὲν παράνομον ἐπικρατές, ὅτι ἀεὶ τὰ χείρονα νικᾷ, τὰ δ' ἀγαθὰ ταχέως ἀφίπταται, οὐ μετὰ πολὺν χρόνον οἱ πλούσιοι καὶ οἱ ἄρχοντες οὐ βουλόμενοι κωμῳδεῖσθαι, ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ φανερῶς καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας, ἵν' ἐντεῦθεν ἀδικοῦντες μὴ ἐλέγχωνται ὑπ' αὐτῶν· ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν, ἀλλὰ καὶ ἔτι ἐπὶ πλέον προϊούσης τῆς κακίας ἐκωλύθησαν καὶ τοῦ αἰνιγματωδῶς κωμῳδεῖν. διὸ εἰς ξένους καὶ πτωχοὺς ἔσκωπτον, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὐκέτι. διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία· ἡ μὲν γὰρ καλεῖται παλαιά, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα· ἡ δὲ μέση, ἡ αἰνιγματωδῶς· ἡ δὲ νέα, ἡ ἐπὶ ξένων καὶ πτωχῶν, ὡς εἴρηται. γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτός τε ὁ Ἀριστοφάνης καὶ Εὔπολις καὶ Κρατῖνος· τῆς δὲ δευτέρας Πλάτων, οὐχ ὁ φιλόσοφος· τῆς δὲ νέας Μένανδρος.

Κωμῳδοὶ οὖν ἐκλήθησαν, ἢ ὅτι οἱ ἀπὸ τῶν κωμῶν συναγόμενοι ταῦτα ᾖδον, ὡς εἴρηται, ἢ ὅτι ἐν τῷ καιρῷ τοῦ κώματος ἢ τοῦ ὕπνου (λέγεται γὰρ κῶμα ὁ ὕπνος) ᾖδον. Ἔστι δὲ τὴν κωμῳδίαν καὶ τραγῳδίαν εἰπεῖν, οἱονεὶ τρυγῳδίαν τινὰ οὖσαν, ὅτι τρύγα χριόμενοι ἐκωμῴδουν. Ἔστι δὲ [καὶ] ἡ κωμῳδία μίμησις πράξεως καθαρωτέρας παθημάτων, συστατικὴ τοῦ βίου, διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. διαφέρει δὲ τραγῳδία κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, κἂν ὡς ἤδη γινομένας σχηματίζῃ αὐτάς· ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων· καὶ ὅτι τῆς μὲν τραγῳδίας σκοπὸς τὸ εἰς θρῆνον κινῆσαι τοὺς ἀκροατάς, τῆς δὲ κωμῳδίας εἰς γέλωτα. Καὶ πάλιν καθ' ἑτέραν διαίρεσιν, τῆς κωμῳδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. διαφέρει οὖν τῆς νέας ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μέν, καθὰ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου ἦν, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δέ, καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔσχε, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου, ἐνίοτε δὲ καὶ ἐπιτηδεύουσα λέξεις τινάς. ὕλῃ δέ, καθὸ ἡ μὲν νέα τῷ ἰαμβικῷ μέτρῳ ἐπὶ πλεῖστον χρῆται, σπανίως δὲ καὶ ἑτέροις μέτροις, τῇ δὲ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δέ, ὅτι ἐν μὲν τῇ νέᾳ χορῶν οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ καὶ μάλιστα. Καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει· καὶ γὰρ οἱ ἐν τῇ Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας — ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα — τὰ πρόσωπα ἀτάκτως εἰσῆγον, καὶ γέλως ἦν μόνως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ Κρατῖνος κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, στήσας τὴν ἀταξίαν, καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράσσοντας διαβάλλων, καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ἠρέμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τὴν κωμῳδίαν, ἐν ταύτῃ διέλαμψεν ἐν ἅπασιν ἐπίσημος φανείς.

Ὁ δὲ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν· ἐκ μὲν τῶν λέξεων κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενον· σημαίνει γὰρ τό τε διαφόροις οὖσι καὶ τὸ ἐπικερδέσι. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ Ἥκω τε καὶ κατέρχομαι· ταὐτὸν γάρ ἐστι. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι πολλάκις χρήσαιτο. τέταρτον κατὰ παρωνυμίαν, ὡς ὅταν τῷ κυρίῳ ἔξωθέν τι κατάθηται, ὡς τὸ μίμαξ καλοῦμαι Μίδας. πέμπτον καθ' ὑποκορισμόν, ὡς τὸ Σωκρατίδιον, Εὐριπίδιον. ἕκτον κατ' ἐναλλαγήν, ὡς τὸ ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως· τοῦτο δὲ ἡ φωνῇ γίνεται ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο, πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς λόγους· δεύτερον καθ' ὁμοίωσιν· ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλῆ, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν.

---

λέξιν, Σ. λέγει τάδε Reg., qui om. v. 30. Codex Crameri τάδε λέγει. — 32 οἰκίαν Reg. οἰκίας cod. Crameri. — 37 ἀεὶ addidimus ex Regio. — 40 φανερῶς οὕτω καὶ Reg., qui 53 τρ° male omittit οὐχ. — 59 καὶ ἡ om. Reg. — 60 καθαρι Reg. — 64 γινομένας Reg. Apud Cramerum male γενομένων, calami, ut videtur, aut typothetarum errore. — 66 τῆς μὲν τραγῳδίας Reg. τῇ μὲν τραγῳδίᾳ Cram. — 76 ἐπιτηδεύουσι Reg. Ibidem in neutro codice lacuna. Vide ad sect. V, 9. — 80 δὲ καὶ μάλιστα Reg. Sine καὶ ap. Cramerum. — 81 τῇ om. Reg. — 83 τὰ πρόσωπα ἀτάκτως Reg. Codex Crameri πρόσωπα εὐτάκτως. — 84 μόνος, 85 ὁ Κρ., 93 ἀνέλαμψεν Reg. — 98 καὶ τὸ ἐπικερδέσι Reg. Crameri codex καὶ ἐπικαρδέσι. « Ex his apparet supra sect. VI, 4 Veneti codicis scripturam διαφορουμένοις veram esse. Hoc enim dicit, διαφορούμενα significare et διάφορα ὄντα, *quæ diversa sunt* vel *hostilia*, et ἐπικερδῆ, *utilia*, quo sensu alias διαφέροντα usurpari constat. Præterea editus ille addit οἷον τὸ μέτρον, quæ etsi corrupta sunt, hoc tamen intelligitur, non grammatici esse, sed poetæ ex quo διαφορουμένοις allatum est. » MEINEK. — 99 τε om. Reg., ex quo ἐστι. In Crameri cod. parva lacuna esse videtur — 1 πολλάκις om. Reg. — 3 κυρίως codex Crameri. καθηται a pr. m. Reg. « Recte editus ἔξωθέν τις ἅπτηται, modo pro τις scribatur τι. Deinde verum fortasse est μῖμαξ. » MEINEK. Regius hic quoque μώμαξ — 4 κατὰ ὑπ. et 11 κατὰ ὁμ. Reg. — 7 φωνῇ Reg. φωνὴ codex Crameri. — 12 Ἡρακλῆν Reg. — 13 Ξανθίαν Reg. Ἡρακλῆ codex Cra-

Ἰστέον ὅτι Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς ὑπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου προτραπέντες τὰς σκηνικὰς διώρθωσαν βίβλους, Λυκόφρων μὲν τὰς τῆς κωμῳδίας, Ἀλέξανδρος δὲ τὰς τῆς τραγῳδίας, ἀλλὰ δὴ καὶ τὰς σατυρικάς. ὁ γὰρ Πτολεμαῖος φιλολογώτατος ὢν διὰ Δημητρίου τοῦ Φαληρέως καὶ ἑτέρων ἐλλογίμων ἀνδρῶν δαπάναις βασιλικαῖς ἁπανταχόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν συνήθροισεν, καὶ δυσὶ βιβλιοθήκαις ταύτας ἐπέθετο, ὧν τῆς ἐκτὸς μὲν ἀριθμὸς τετρακισμύριαι δισχίλιαι ὀκτακόσιαι, τῆς δὲ τῶν ἀνακτόρων ἐντὸς συμμιγῶν μὲν βίβλων ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἀμιγῶν δὲ καὶ ἁπλῶν μυριάδες ἐννέα· ὧν τοὺς πίνακας ὕστερον Καλλίμαχος ἐπεγράψατο. Ἐρατοσθένει δὲ ἡλικιώτῃ Καλλιμάχου παρὰ τοῦ βασιλέως τὸ τοιοῦτον ἐνεπιστεύθη βιβλιοφυλάκιον. τὰ δὲ συνηθροισμένα βιβλία οὐχ Ἑλλήνων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐθνῶν· ἦσαν δὲ καὶ τῶν Ἑβραίων αὐτῶν. τὰς δὴ οὖν τῶν ἄλλων ἐθνῶν σοφοῖς ἀνδράσι τήν τε οἰκείαν φωνὴν τήν τε τῶν Ἑλλήνων καλῶς εἰδόσι τὰς ἐξ ἑκάστου ἐγχειρίσας, οὕτως ἑρμηνευθῆναι αὐτὰς πεποίηκεν εἰς τὴν Ἑλλάδα φωνήν. τὰς δὲ σκηνικὰς Ἀλέξανδρός τε, ὡς ἔφθην εἰπών, καὶ Λυκόφρων διωρθώσαντο. Καίτοι τὰς Ὁμηρικὰς ἑβδομήκοντα δύο γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὑτωσὶ σποράδην οὔσας τὸ πρίν. ἐπεκρίθησαν δὲ κατ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὑπ' Ἀριστάρχου καὶ Ζηνοδότου, ἄλλων ὄντων τούτων τῶν ἐπὶ Πτολεμαίου διορθωσάντων.' οἱ δὲ τέσσαρσί τισι τῶν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτῃ, Ζωπύρῳ Ἡρακλεώτῃ, Ὀνομακρίτῳ Ἀθηναίῳ καὶ ἐπὶ κογκυλω. ὕστερον δὲ ταύτας ἁπάσας σκηνικάς τε καὶ ποιητικὰς πλεῖστον ἐξηγήσαντο Δίδυμος, Τρύφων, Ἀπολλώνιος, Ἡρωδιανὸς, Πτολεμαῖος Ἀσκαλωνίτης, καὶ οἱ φιλόσοφοι, Πορφύριος, Πλούταρχος καὶ Πρόκλος, ὡς καὶ πρὸ αὐτῶν πάντων Ἀριστοτέλης.

Ἔτι ἰστέον ὅτι καὶ πρώτη κωμῳδία, ἧς τὰ σκώμματα φανερὰ κατὰ πάντων ἦσαν πολιτῶν, μετ' Εὐπόλιδος διήρκεσεν. ἐπειδὴ δὲ αὐτὸς εἰς Ἀλκιβιάδην ὕβρισεν ὄντα τότε στρατηγὸν καὶ διελοιδορήσατο αὐτῷ, ὢν τότε Ἀλκιβιάδης ἐμπαράσκευος πρὸς πόλεμον ὡς ναυμαχίας προσδοκωμένης, κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν· οἱ δὲ συλλαμβάνοντες αὐτὸν, ὡς μέν τινες φασὶν, παντελῶς ἀπέπνιξαν αὐτὸν εἰς τὴν θάλασσαν, ὡς δὲ ἄλλοι, δεδεμένον αὐτὸν σχοίνῳ ἀνῆγόν τε καὶ κατῆγον εἰς τὴν θάλασσαν, οὐ μέντοι καὶ ἀπέπνιξαν παντελῶς, τοῦ Ἀλκιβιάδου λέγοντος βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἁλμυροῖς ὕδασι κατακλύσω. καὶ οὕτω δὴ ἢ διαφθαρέντος τοῖς κύμασι παντελῶς ἢ καὶ περισωθέντος, ψήφισμα ἔθετο Ἀλκιβιάδης μηκέτι φανερῶς, ἀλλὰ συμβολικῶς κωμῳδεῖν. τότε δὴ αὐτός τε Εὔπολις καὶ Κρατῖνος καὶ Φερεκράτης καὶ Πλάτων καὶ Ἀριστοφάνης αὐτὸς τὰ συμβολικῶς μετεχειρίσατο σκώμματα, ἣ δὴ δευτέρα κωμῳδία ἐλέγετο, μέχρις οὗ μηδὲ συμβολικῶς ἐθελόντων τῶν πολιτῶν σκώπτεσθαι, εἰς δούλους μόνους καὶ ξένους ἔσκωπτον, ἣ δὴ τρίτη ἦν κωμῳδία, αὐξηθεῖσα ἐπὶ Μενάνδρου καὶ Φιλήμονος.

Ἴδιον δὲ κωμῳδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι γέλωτα, τραγῳδίας δὲ πένθη καὶ συμφοράς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰς ἀπαντᾶν, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, ἐκ μέρους, ὥσπερ τινὲς φασὶν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα· οἷον « Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ ὡς γεωργὸς δοῦλος ἔσταλται « εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι, ἀνεσπακὼς « δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους νωτοφορήσας τε « αὐτὰς εἰς τὸ οἴκημα γεωργοῦ τοῦ ἀγροῦ, ἄρτους τε « μεγάλους ἐποίησε, καὶ τὸν κρείττω τῶν βοῶν θύσας « καὶ τὸν πιθεῶνα διαρρήξας, καὶ τὸν κάλλιστον πίθον « ἀποπωμάσας, τὰς θύρας τε ὡς τράπεζαν θεὶς, ἤσθιέ « τε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ « δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦν« τας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέ« ψας τὰ πάντα κατέκλυσεν.» ἔστι δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα· τοιαῦτα δέ εἰσι τὰ σατυρικὰ δράματα. τέλος δὲ τραγῳδίας μὲν λύειν τὸν βίον, κωμῳδίας δὲ συνιστᾶν αὐτὸν, σατυρικῆς δὲ τοιούτοις θυμελικοῖς χαριεντισμοῖς καθηδύνειν αὐτόν. λυρικοὶ δέ, οἱ καὶ κυκλικοὶ καὶ διθύραμβοι, ἢ ἀθλητὰς ἀγῶσι νικῶντας ἐπῄνουν, ἢ τὸν Διόνυσον ὕμνουν, ἢ ἑτέρους θεούς.

Ἔτι ἰστέον ὅτι κατὰ Διονύσιον καὶ Κράτητα καὶ Εὐκλείδην μέρη κωμῳδίας εἰσὶ τέσσαρα, πρόλογος,

---

meri. — 44, 45 *Concyli Onomacriti Atheniensis* scholion Plautinum infra sect. X, a. Acutissimus Hasius in literis ad Cramerum datis : *Les mots en question, dans le* cod. Reg. 2667, *me semblent figurés ainsi :* ὀνομακρίτῳ αθηναίω και καγ ἐπὶ κογκυλω. *L'accent sur* καὶ, *l'iota souscrit et l'esprit doux d'*Ἀθηναίῳ *manquent, et bien que j'aie presque détaché le feuillet, je vois que les initiales de chacune des trois lignes de la scholie marginale sont détruites. Je crois néanmoins, sauf meilleur avis, qu'il faut lire* Ἀθη]νοδώρῳ ἐπίκ]λην Κορδυ]λίωνι. *L'anachronisme est sans doute énorme : Athénodore surnommé Cordylion, contemporain de Caton d'Utique, n'a pu être chargé par Pisistrate de la rédaction définitive des chants d'Homère. Mais la personne qui a transcrit l'opuscule dont il s'agit, me paraît avoir été un Grec de la fin du XV*[e] *siècle : or vous savez, Monsieur, que ces Byzantins, même lettrés, n'étaient pas forts en histoire littéraire. Notre copiste voulant corriger un passage, altéré sans doute depuis longtemps, puisqu'il l'était déjà à l'époque où vécut le scholiaste de Plaute, aura pensé à Athénodore parce que le Byzantin en question avait quelque notion confuse du stoïcien bibliothécaire de Pergame, sans connaître au juste le temps où celui-ci avait vécu.* — 51 μέχρι Εὐπόλιδος Meinekius. — 98 Εὐ-

Ceci figure la marge du ms.: νόδωρῳ λίνκορ λίωνι

*b.*

μέλος χοροῦ, ἐπεισόδιον καὶ ἔξοδος. καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῦ λεγομένη ῥῆσις. μέλος καλεῖται χοροῦ. ἐπεισόδιον δέ ἐστι μέρος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χοροῦ. ἔξοδος δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χοροῦ ῥῆσις. Μέρη δὲ παραβάσεως ἑπτά· ἑπτάκις γὰρ ὁ χορὸς ὠρχεῖτο, ἐπειδὰν εἰς τὴν ὀρχήστραν εἰσήρχετο, ἣν δὴ καὶ λογεῖον καλοῦσιν. ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο, ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῷ γένει ἐκαλεῖτο· καὶ γὰρ τὸ ὅλον τοῦτο ἑπτάστροφον σχῆμα παράβασις ἐκαλεῖτο· ἡ δὲ τρίτη μακρόν· ἡ δὲ τετάρτη ᾠδὴ καὶ στροφή· ἡ δὲ πέμπτη ἐπίρρημα· ἡ δὲ ἕκτη ἀντῳδὴ καὶ ἀντίστροφος· ἡ δὲ ἑβδόμη ἀντεπίρρημα. εἰσελθὼν οὖν ὁ χορὸς εἰς τὴν ὀρχήστραν μέτροις τισὶ διελέγετο τοῖς ὑποκριταῖς καὶ πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμῳδίας. ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἁψῖδος ἔβαινεν, ἂν δ' ὡς ἀπ' ἀγροῦ, διὰ τῆς δεξιᾶς, τετραγωνιζόμενός τι ὁ χορὸς πρὸς μόνους τοὺς ὑποκριτάς· ἀπελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ὁρῶν ἐκ τετραμέτρου δεκαὲξ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο ἀντίστροφος, ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον· ὅλη δὲ ἡ πρόσοδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. συμβαίνει δὲ τὸ ἐπίρρημα πέντε σημαίνειν, αὐτό τε τὸ οἰκεῖον σημαινόμενον, καὶ τὴν στροφὴν καὶ ἀντίστροφον καὶ ᾠδὴν καὶ ἀντῳδήν, ἐπεὶ [δὲ] ἡ μὲν στροφὴ τὴν ᾠδὴν σημαίνει, ἡ δὲ ἀντίστροφος τὴν ἀντῳδήν. γένοιτο δ' ἂν σαφεστέρα ἡ τῶν τοιούτων διδασκαλία ὧδέ πως. ἐν ἐαρινῷ καιρῷ πολυτελέσι δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀθόναις λευκαῖς καὶ μελαίναις, βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρὶ, ὀρύγμασί τε καταγείοις καὶ ὑπογαίοις, καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον θαλάσσης, ταρτάρου, ᾅδου, κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτός, οὐρανοῦ, ἡμέρας καὶ ἀνακτόρων, καὶ πάντων ἁπλῶς· αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας καὶ ἁψῖδας εἰς τύπον ὁρῶν. διὰ μὲν οὖν ἀριστερᾶς ἁψῖδος ἐχώρουν, εἰ ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς ἢ θέατρα, ἂν δὲ πρὸς πόλιν ὡς ἐκ θεάτρου ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς. τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

Τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς· σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα. ταῦτα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δεκαὲξ ἦσαν· ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι τέσσαρα· ἃ δὴ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων, τὰ οἰκεῖα τῷ καθ' ἕνι αὐτῶν καὶ οἰκείῳ ἠθροισμένα δρῶντα, ὁ χορὸς ἐκαλεῖτο. διαιρεθεὶς δὲ ὁ χορὸς εἰς τμήματα δύο, ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς δὲ καὶ χορός· εἰ δὲ καθ' ἕνα ἐτέμνετο, ὑποκριταὶ ἐκαλοῦντο κοινῷ ὀνόματι, διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιειλῆφθαι, ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλὰ, εἰς προλογίζοντας, εἰς ἀγγέλους, εἰς ἐξαγγέλους, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεοὺς, καὶ εἰς ἄλλα μύρια.

Τούτων οὖν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον (ἐκαλεῖτο δὲ ἡ εἰσέλευσις εἴσοδος, καὶ ἐπήλυσις, καὶ ἐπίβασις, καὶ πάροδος, καὶ παράβασις), εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν πρὸς τοὺς ὑποκριτὰς τὸν λόγον ποιούμενον, τὸ πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερόν· καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσι· εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανεν. ταῦτα μὲν οὖν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ δράματος, παράβασις, στροφὴ, ἀντίστροφος καὶ ἔξοδος. καὶ λογικὰ δὲ μέρη αὐτῆς τέσσαρα, ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος, ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου ᾠδὴ καὶ ἀντῳδὴ, ἐπίρρημα καὶ ἀντεπίρρημα, ἀντὶ δὲ ἐξόδου ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον. ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικὰ καὶ λογικὰ τῶν δραματικῶν ποιημάτων ὑπῆρχε. τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη, στροφὴ, ἀντίστροφος, καὶ ἔξοδος ἢ ἐξέλευσις, πρακτικά· λογικὰ δὲ, ᾠδὴ, ἀντῳδὴ καὶ ἐπῳδός. ἡ οὖν ἀντῳδὴ τῇ ᾠδῇ ἰσαρίθμους ἔχει στίχους, καὶ τοῖς αὐτοῖς μέτροις ἑκατέρα χρῆται· ὁ δὲ ἐπῳδὸς διάφορα ἐκείνων ἔχει καὶ τῷ ἀριθμῷ καὶ τῇ ποιότητι οὐδαμοῦ. ἐφθέγγοντο δὲ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερα μέρη τοῦ δήμου ὁρῶντες, πρῶτον μὲν τὴν ᾠδὴν, εἶτα τὴν ἀντῳδὴν, ἐπὶ δὲ τῷ τέλει τοῦ ἐπῳδοῦ ἤγουν ὑστερῳδήν τε καὶ ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτῶν περικλείοντες. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ προοίμιον.

---

## IX b.

### ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

(*Ex scholiis ad Dionys. Thrac. grammat. in Bekkeri Anecd. p.* 747, 748, *ad verba Dionysii* p. 629, 18: ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς.)

Κωμῳδία ἐστὶν ἡ ἐν μέσῳ λαοῦ κατηγορία ἤγουν δημοσίευσις· εἴρηται δὲ παρὰ τὸ κώμη καὶ τὸ ᾠδή· ἔστι δὲ εἶδος ποιήματος ἐν κώμαις κατὰ τὸν βίον

---

κλείδην. In margine codicis ἴσως Εὐβουλίδην. Male. — 1 μέρος Meinekius. Codex μέλος. — 4 codex ἐπειδὰν δὲ, quam voculam delevit Meinekius. — 9 codex τρίτη μικρόν. — 26 δὲ uncis inclusit Meinek. — 81 οὐδαμοῦ vocab. corruptum, nisi forte scripsit, τὰ αὐτὰ δὲ vel ἴσα δὲ οὐδαμοῦ.

ᾀδόμενον. διὰ τοῦτο καὶ « βιωτικῶς » λέγεται, τουτέστιν ἱλαρῶς, ὡς ἂν εὔξαιτό τις βιῶναι, ἀντὶ τοῦ ἐν ἡδονῇ καὶ γέλωτι. δεῖ οὖν τῷ τὴν κωμῳδίαν ὑποκειμένῳ μετὰ γέλωτος καὶ πολλῆς ἀστειότητος καὶ ἱλαροῦ τοῦ προσώπου προσφέρεσθαι. ἢ « βιωτικῶς » κατὰ μίμησιν τοῦ βίου, ἵνα, ἂν μὲν ὑπόκειται γέρων, μιμησώμεθα τὴν φωνὴν τοῦ γέροντος· εἰ δὲ γυνή, μιμησώμεθα τὴν φωνὴν τῆς γυναικός. διαφέρει δὲ κωμῳδία τραγῳδίας, ὅτι ἡ τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων. — Κωμῳδία λέγεται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ Μενάνδρου καὶ Ἀριστοφάνους καὶ Κρατίνου καὶ τῶν ὁμοίων. ἐφευρέθη δὲ ἡ κωμῳδία, ὥς φασιν, ἔκ τινος τοιαύτης αἰτίας. βλαπτόμενοί τινες γεωργοὶ παρὰ τῶν πολιτῶν τῶν ἐν Ἀθήνῃσι, καὶ θέλοντες ἐλέγχειν αὐτούς, κατῄεσαν ἐν τῇ πόλει, καὶ περὶ τὸν καιρὸν τοῦ καθεύδειν περιιόντες περὶ τὰς ἀγυιὰς ἔλεγον ἀνωνυμεὶ τὰς βλάβας, ἃς ἔπασχον ὑπ' αὐτῶν. ἵνα δὲ σαφέστερον εἴπωμεν, τοιαῦτά τινα ἐβόων, « ἐνταῦθα μένει τις τάδε « καὶ τάδε τισὶ ποιῶν τῶν γεωργῶν, καὶ οὐ μετρίας « βλάβας ἐπιφέρων αὐτοῖς. » ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γενομένης πρὸς ἀλλήλους λέγειν ἅτινα νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τῷ ἀδικοῦντι. τὸν δὲ ἐμφανιζόμενον τοῖς τῆς πόλεως, αἰδεῖσθαι καὶ παύεσθαι τῆς τοιαύτης ἀδικίας. τούτοις πολλάκις παρακολουθήσαντες ἄλλοι πολλοὺς τῶν ἀδικούντων ἀνέστειλαν. ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν κωμικῶν, καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου τοῦτο ποιεῖν. οἱ δὲ αἰδούμενοι, μᾶλλον δὲ φοβούμενοι, τρυγίᾳ περιχρίοντες αὐτῶν τὰς ὄψεις, οὕτως εἰσῄεσαν. καὶ ἔτι μᾶλλον ἐλεγχομένων τῶν ἀδικούντων ἐπὶ θεάτρῳ, ἀνοχὴ τῶν ἀδικιῶν ἐγένετο, τῆς αἰδοῦς ἔτι συνοικούσης τοῖς ἀνδράσιν. ἔδοξεν οὖν τοῖς τῆς πόλεως τὸ ἐγχείρημα καλὸν ὑπάρχειν, καὶ λογίους ἄνδρας αὐτὸ μετιέναι. πρῶτον οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο. οὗ τὰ μὲν δράματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι τοῦ πρώτου δράματος ἐπὶ μνήμῃ φέρονται. εἰσὶ δὲ οὗτοι·

ἀκούετε λεώς, Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου, Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

ἀρχὴν οὖν δεξαμένου τοῦ πράγματος πολλοὶ γεγόνασι κωμῳδοί, ἐλέγχοντες τοὺς κακῶς βιοῦντας, καὶ τοὺς ταῖς ἀδικίαις χαίροντας, ἀναστέλλοντες τὰς ἀκαίρους καὶ ἀδίκους αὐτῶν πράξεις, καὶ ὠφελοῦντες κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. ἐπειδὴ δὲ τὸ μὲν παράνομον ἐπὶ τὰ χερείονα νικᾷ, τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας, οὐ μετὰ πολὺν χρόνον οἱ ἄρχοντες Ἀθήνῃσιν ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ μὴ φανερῶς οὕτω καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας. αὐτοὶ γὰρ θέλοντες ἀδικεῖν καὶ μὴ ἐλέγχεσθαι, τούτου χάριν ἐπετίμων αὐτοῖς. ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν. ἔτι δὲ ἐπὶ τὸ πλεῖον προϊούσης καὶ ἐπικρατούσης τῆς κακίας, ἐκωλύθησαν τοῦ καὶ αἰνιγματωδῶς ἐλέγχειν καὶ ὑβρίζειν τοὺς κρατοῦντας καὶ ἄρχοντας τῆς πόλεως. διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία. καὶ ἡ μὲν καλεῖται παλαιά, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἡ δὲ μέση τις καὶ αἰνιγματώδης, ἡ δὲ νέα μηδ' ὅλως τοῦτο ποιοῦσα πλὴν ἐπὶ δούλων ἢ ξένων. καὶ τῆς μὲν παλαιᾶς πολλοὶ γεγόνασι, ἐπίσημος δὲ Κρατῖνος, ὁ καὶ πραττόμενος· μετέσχον δέ τινος χρόνου τῆς παλαιᾶς κωμῳδίας Εὔπολίς τε καὶ Ἀριστοφάνης. τῆς δὲ μέσης καὶ αὐτῆς μὲν πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Πλάτων τις, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις. ὁμοίως κἀκείνου τὰ δράματα οὐ φαίνεται. τῆς δὲ νέας ὁμοίως πολλοὶ γε-

## IX b.

14 Κωμῳδία λέγεται. Hæc et sequentia ex codice Barocciano 116, fol. 29 b, edidit Gaisfordus ad Hephæst. p. 409—411. Comparanda cum his sectio IV, IX, a, et quæ sectioni XV subjuncta sunt.—15 τῶν om. cod. Vat. Bekkeri. Ἀθήναις Vat. — 20 περὶ Barocc. παρὰ exemplar Bekkeri. — 21 περὶ om. Vat. Idem mox ἀγυιὰς ἔνθα ἔμενον οἱ βλάπτοντες αὐτοὺς ἔλεγον. Ib. ἀνωνύμως Barocc., qui 22 ἃς ἔπασχον ὑπ' om. — 24 ποιῶν τισὶ Barocc. — 26 γενομένης Barocc. γινομένης Bekk. Ib. ἃ νύκτωρ Barocc. — 28 ἐπονείδιστον ποιεῖν τὸν ἀδικοῦντα Vat. Ib. ἀδικοῦντι. τὸν δὲ ἐμφανιζόμενον Barocc. ἀδικοῦντι τόδε, ἐμφανιζόμενον Bekk. p. 748, 6. τὸν δὲ ἐμφανῆ γενόμενον Vat. — 29 τοῖς ἐπὶ τῆς, 30 sq. πολλοί, omisso ἄλλοι, 35 τρυγί, 36 εἰσίεσαν, 38 αὐτοῖς ἀνδρ., 39 καλῶς Barocc. — 40 Σουδαρίων Bekk. hic et infra. — 42 κατανεμήθησαν Barocc., qui 43 πρώτου om. — 45 sqq. Sunt, fateor, quinque versus iambici, qui Susarioni adscribantur, et forte revera sunt ejus: ἀκούετε λεώς· Σουσαρίων λέγει τάδε, | υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος· | κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται, | οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ. | καὶ γὰρ τὸ γῆμαι, καὶ τὸ μὴ γῆμαι κακόν. Exstant quattuor versus antecedentes in commentario Diomedis Scholastici in Dionysium Thracem MS., qui nunc est in bibl. Regia; ultimus, cum tribus aliis apud Stobæum tit. 67 [69, 2], primus, tertius, et quartus, apud Diomedem 3, p. 486, ac tertius et quartus apud [schol. Lysistr. 1037, et] Suidam v. Οὔτε σύν. Secundum v. emendavit Pearsonus Vind. Ignat. 2, p. 11: nam valde corruptus est in MS. Sed in primo versu, ut edidit ille, Ἀκούετε λέξεως, Σουσαρίων τάδε λέγει, duo vitia sunt contra numerum versus iambici. Quod mendum ut elueretur, pro λέξεως in Diomede repositum est λέξιν. Sed verum est, Ἀκούετε λεώς, ut est apud Stobæum, i. e. *Audite, populus, etc. etc.* BENTLEIUS Dissert. Phalarid. p. 109. — 45 τάδε λέγει Barocc. — 46 Φιλήνης μεγὰρ ὅθεν Vat. γεγαρόθου (pro Μεγαρόθεν) Barocc. et cod. Venet. ap. Bekker. τριποδίσκος Barocc. et Venet. τρίποδος κίων Vat. — 52 ὠφέλουν, 53 πόλιν τῶν Barocc. — 54 pro ἐπὶ legendum ἀεὶ ex Regio supra IX, a, l. 37. Verba Homeri sunt Il. A, 576. — 57 τοὺς φανερῶς οὕτως, 60 ἠλέγχοντο Barocc. ἐλέγχονται Bekk. — 62 καὶ κρατούσης Barocc. Alterum καὶ om. Bekk. — 63 sq. κρατοῦντας καὶ om. Barocc., qui 65 ἔχειν ἔδοξεν. — 66 τις om. Bar — 69 de πραττόμενος v Meinek. Hist. Com. p. 560. — 70 τῆς δὲ παλαιᾶς, 71 καὶ αὐτοί, 72 τις Πλάτων Barocc., qui 78 κῶμα γὰρ ὁ ὕπνος omittit.

γόνασιν, ἐπίσημος δὲ ὁ Μένανδρος, ὃς ἄστρον ἐστὶ τῆς νέας κωμῳδίας, ὡς μεμαθήκαμεν. Εἴρηται δὲ κωμῳδία οἱονεὶ ἐπὶ τῷ κώματι ᾠδή, καὶ γὰρ περὶ τὸν καιρὸν τοῦ ὕπνου ἐφευρέθη· κῶμα γὰρ ὁ ὕπνος· ἢ ἡ τῶν κωμητῶν ᾠδή· κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί.

## X.

## ΑΝΔΡΟΝΙΚΟΥ ΠΕΡΙ ΤΑΞΕΩΣ ΠΟΙΗΤΩΝ.

(*Ex codice Paris.* 2929 *in Bekkeri Anecd.* p. 1461.)

Κωμικῶν δὲ ὁ γέλως μετὰ τοῦ καὶ χορευτὰς εἰσάγειν καὶ πρόσωπα τοιαῦτα, οἷός ἐστιν Ἀριστοφάνης, Εὔπολις, Φερεκράτης. ἀλλ' ἡ μὲν κωμῳδία τρεῖς ἔχει τὰς διαφορὰς, καὶ ἡ μὲν καλεῖται ἀρχαία ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἧς ἐπίσημοι Ἀριστοφάνης, Κρατῖνος, Εὔπολις· ἡ δὲ μέση τις καὶ αἰνιγματώδης, ἧς ἐπίσημος Πλάτων ὁ τὸν χαρακτῆρα λαμπρότατος, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις καὶ αὐτὸς Ἀθηναῖος, οὗτινος τὰ δράματα τάδε λέγονται, Γρῦπες Κλεοφῶν Πρέσβεις Παιδίον Σοφισταὶ Συμμαχία Σκευαὶ Ἄδωνις Ἀφιέρων (Ἀφ' ἱερῶν) Δαίδαλος Ἑλλὰς Ἑορταὶ Εὐρώπη Ζεὺς κακούμενος Ἰὼ Λάϊος Λάκωνες Μύρμηκες Μέτοικοι Μενέλεως Μαμμάκουθος Ξάντριαι Νῖκαι Νὺξ μακρὰ Πείσανδρος Περιαλγὴς Ποιητὴς Σύρφαξ Ὑπέρβολος. ἡ δὲ νέα μηδ' ὅλως αἰνιγματώδης, πλὴν ἐπὶ δούλων καὶ ξένων, ἧς ἐπίσημος Μένανδρος καὶ παρὰ Ῥωμαίοις Τερέντιος καὶ Πλαῦτος. χρῆται δὲ προτάσει καὶ ἐπιτάσει καὶ ἀναστροφῇ ὁ Τερέντιος καὶ εἰς πέντε σκηνὰς διαιρεῖ τὸ δρᾶμα. Πλαῦτος περιοχὴν ποιεῖ τῆς αὐτοῦ κωμῳδίας, Τερέντιος δ' οὔ.

## X a.

## SCHOLION PLAUTINUM.

(*Edidit ex codice Plauti Romano Fr. Ritschelius in libro de bibliothecis Alexandrinis. Vratisl.* 1838, *p.* 3.)

EX CÆCIO IN COMMENTO COMOEDIARUM ARISTOPHANIS IN PLUTO, QUAM POSSUMUS OPULENTIAM NUNCUPARE.

Alexander Ætolus et Lycophron Chalcidensis et Zenodotus Ephesius impulsu regis Ptolemæi Philadelphi cognomento, qui mirum in modum favebat ingeniis et famæ doctorum hominum, Græcæ artis poeticos libros in unum collegerunt et in ordinem redegerunt, Alexander tragœdias, Lycophron comœdias, Zenodotus vero Homeri poemata et reliquorum illustrium poetarum. Nam rex ille philosophis affectissimus et cæteris omnibus autoribus claris, disquisitis impensa regiæ munificentiæ ubique terrarum quantum valuit voluminibus opera Demetrii Phaleri et LXX ††) senum duas bibliothecas fecit, alteram extra Regiam, alteram autem in Regia. In exteriore autem fuerunt millia voluminum quadraginta duo et octingenta. In Regiæ autem bibliotheca voluminum quidem commixtorum volumina quadraginta milia, simplicium autem et digestorum milia nonaginta, sicuti refert Callimacus aulicus Regius bibliothecarius, qui etiam singulis voluminibus titulos inscripsit. Fuit præterea qui idem asseveret Eratosthenes non ita multo post ejusdem custos bibliothecæ. Hæc autem fuerunt omnium gentium ac linguarum quæ habere potuit docta volumina, quæ summa diligentia Rex ille in suam linguam fecit ab optimis interpretibus converti. Ceterum Pisistratus sparsam prius Homeri poesim ante Ptolemæum Philadelphum annis ducentis et eo etiam amplius sollerti cura in ea quæ nunc extant redegit volumina, usus ad hoc opus divinum industria celeberrimorum et eruditissimorum hominum, videlicet Concyli, Onomacriti Atheniensis, Zopyri Heracleotæ et Orphei Crotoniatæ. Nam carptim prius Homerus et non nisi difficillime legebatur. Quin etiam post Pisistrati curam et Ptolemæi diligentiam Aristarchus adhuc exactius in Homeri elimandam collectionem vigilavit. Heliodorus multa aliter nugatur, quæ longo convicio Cecius reprehendit. Nam ab LXXII doctis viris a Pisistrato huic negotio præpositis dicit Homerum ita fuisse compositum, qui quidem Zenodoti et Aristarchi industriam omnibus prælatam comprobarint, quod constat fuisse falsissimum, quippe quum inter Pisistratum et Zenodotum fuerint anni supra ducentos, Aristarchus autem CXL annis minor fuerit ipso et Zenodoto atque Ptolemæo.

---

X.

12 καλούμενος, 13 ξάνται, 14 περίαλγος codex.

X a.

1 Cæcio, h. e. Tzetza, ut primus monuit G. Dindorfius. Frustra, ut mihi quidem videtur, repugnat Cramerus. Nec tamen ideo totum illum, ex quo hæc latine conversa sunt, de comœdia tractatum eidem auctori adscripserim, quamquam negari non potest multa in eo inesse Tzetzæ stupore diguissima. Meinek. — 5 codex *Ephestius*. — 12 *affectissimus* Dindorfius. Codex *affertissimus*. — 16 *et LXX* Bernhardyus in Annal. crit. Berol. 1838, vol. 2, p. 828. Codex obscuris literarum ductibus *p̄hzka*. — 36 *Concyli* ex corrupto græco supra IX, a, p. XIX, 45. « Bernhardyus p. 835 *Eucli* (v. Lobeck. Aglaoph. p. 300), de quo non videtur cogitari posse. Dind. — 42 *Heliodorus*. De hoc nomine jure dubitat Bernhard. p. 833. Dind. Bernh. *alia nugatur*. In græcis fuisse videtur ἄλλως φλυαρεῖ. Meinek. — 44 *ab LXXII doctis* Bernhardyus p. 831, quod nunc confirmatur græcis editis. Codex *ol' LXXII duobus*. — 48 *falsissimum*. Quam opinionem graviter hoc loco reprehendit Tzetza, eam ipse sequitur in Exegesi in Iliadem, prius, ut videtur, scripta, p. 45, 46 et 125, quos locos indicavit Bernh. p. 833. Dind. — 50 *CXL* Bernhardyus p. 832. Codex *quattuor*

## X b.

### ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

### ΣΤΙΧΟΙ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΠΟΙΗΤΩΝ.

Ποιητικῶν μέλλουσιν ἄρχεσθαι λόγων
χρεὼν διδάσκειν πρῶτα τὰς διαιρέσεις·
οὕτω γὰρ εὐσύνοπτον ἔσται τοῖς νέοις
καὶ δὴ τὸ λοιπὸν ἐγκαταρκτέον λέγειν.
ποιητικὸν γίνωσκε σὺ γένος, νέε,
πολλὰς τομὰς φέρον τε καὶ διαιρέσεις·
τὸ μὲν γὰρ αὐτῶν λυρικὴν κλῆσιν φέρει,
ἄλλο τραγικήν, κωμικήν, μονῳδίαν,
καὶ σατυρικὸν καὶ διθύραμβον πάλιν·
ἰαμβογραφία τε τούτοις συντρέχει,
ποιητικόν τε πᾶν ἀνώνυμον γένος.
καὶ δὴ τὸ πᾶν γνώρισμα σαφηνιστέον.
τῶν λυρικῶν γνώρισμα πρῶτον ἡ λύρα·
πρὸς γὰρ λύραν ἔμελπον αὐτοὶ τὰ μέλη·
εἶχον δὲ πεντήκοντα τοὺς χοροστάτας,
καὶ βοῦς τὸ δῶρον κυκλικῶς ἑστηκότων·
ὅθενπερ αὐτούς τις καλεῖ ταυροσφάγους.
τοῦ λυρικοῦ κύκλου δὲ σύστημα τόδε·
Κόριννα, Σαπφώ, Πίνδαρος, Βακχυλίδης,
Ἀνακρέων, Ἴβυκος, Ἀλκμάν, Ἀλκαῖος,
Στησίχορός τε καὶ Σιμωνίδης ἅμα,
δεκὰς ἀρίστη παντελὴς πληρεστάτη.
τὴν τραγικὴν μάνθανε καὶ κωμῳδίαν.
ἄμφω πρὸς ὠφέλειαν εὕρηνται βίου·
τὴν δ' εὕρεσιν μάνθανε πῶς ἐφευρέθη.
πένητες ἄνδρες Ἀττικοὶ γῆς ἐργάται,
ἀδικίας πάσχοντες ἐν γεωργίαις
ἐξ Ἀττικῶν μὲν εὐγενῶν δὲ τῷ γένει,
ἀντιλέγειν δὲ μὴ σθένοντες μηδόλως,
συνεργὸν ἐξεύραντο τὸν νυκτὸς χρόνον·
κώμαις γὰρ αὐτοὶ ταῖς στενωπαῖς τριόδοις
κῶμα κατ' αὐτὸ καὶ γλυκὺν ὕπνου χρόνον
περιτρέχοντες καὶ λέγοντες τὰς βλάβας
θόρυβον εἰργάσαντο τοῖς πέριξ μέγαν,
ὡς ἡλίου τρέχοντος ἡμέρας δρόμον
ζητεῖν, ἐρευνᾶν πανταχοῦ τοὺς αἰτίους,
καὶ τοὺς γεωργοὺς τοὺς παθόντας τὰς βλάβας.
ἐπεὶ δ' ἐφευρέθησαν οἱ γῆς ἐργάται,
ᾔτησεν αὐτοὺς Ἀττικὴ γερουσία
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου
τελουμένοις κώμαις τε καὶ τοῖς χωρίοις
βλάβας κατειπεῖν ἃς ἔλεξαν ἐννύχως·
οἱ δ' αὖ θέλοντες ἅμα καὶ δεδοικότες
τρυγὶ καταχρίσαντες αὐτῶν τὰς θέας
ἀγνωστοφανεῖς εἶπον ὡς πρὶν τὰς βλάβας.
ἐπεὶ δ' ἐσωφρόνισε τὸ πρᾶγμα πόσους,
ἔδοξε πᾶσι τοῖς σοφοῖς βουληφόροις
πρὸς σωφρονισμὸν τοῦτο παντὸς τοῦ βίου
ἀεὶ τελεῖσθαι τοῖς ἐτησίοις κύκλοις,
ἐαρινῷ μάλιστα καιρῷ δὲ πλέον.
καὶ πρῶτον αὐτά πως μετῆλθον ἀγρόται,
κωμῳδίαν δή φημι καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
ἄνδρας μετ' αὐτοὺς ἀξιοῦσι πανσόφους
ἅπαντα πράττειν εὐγενῶς καὶ κοσμίως,
οὕσπερ τὸ λοιπὸν καὶ διδασκάλους ἔφαν.
κλῆσις δὲ τοῖς σύμπασιν ἦν τρυγῳδία·
χρόνῳ διῃρέθη δὲ κλῆσις εἰς τρία,
κωμῳδίαν ἅμα τε καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
ὅσον μὲν οὖν ἔσχηκε τὴν θρηνῳδίαν,
τραγῳδίαν ἔφασαν οἱ κριταὶ τότε·
ὅσον δὲ τοῦ γέλωτος ἦν καὶ σκωμμάτων,
κωμῳδίαν ἔθεντο τὴν κλῆσιν φέρειν·
ἄμφω δὲ πρὸς σύστασιν ἦσαν τοῦ βίου·
ὁ γὰρ τραγικὸς τῶν πάλαι πάθη λέγων,
Ῥήσους, Ὀρέστας, Φοινίκας (sic), Παλαμήδεις,
τοὺς ζῶντας ἐξήλαυνεν ἀγερωχίας.
ὁ κωμικὸς δὲ πῶς γελῶν κωμῳδίαις
ἅρπαγα τινὰ καὶ κακοῦργον καὶ φθόρον
τὸ λοιπὸν ἡδραίωσεν εἰς εὐκοσμίαν.
οὕτω λύει μὲν ἡ τραγῳδία βίον,
βαθροῖ δὲ καὶ πήγνυσιν ἡ κωμῳδία,
ὁμοῦ σκυθρωποῖς τῇ χαρᾷ μεμιγμένη.
διαφορὰν ἔφημεν αὐτῶν ἀρτίως,
τοὺς εὑρετὰς δὲ τοιγαροῦν νῦν λεκτέον.
Τριττὴν νόει δὲ πρῶτον τὴν κωμῳδίαν·
πρώτην, μέσην, ἔπειτα καὶ τὴν ὑστέραν.
πρώτης μὲν ἦν ἴδιον ἐμφανὴς ψόγος·
ἧς ἦν κατάρξας εὑρετὴς Σουσαρίων.

---

### X b et c.

Ediderunt hæc Dübnerus in Museo Rhenano 1835, p. 393 seqq. (adde 1836, p. 154 sq.) et Cramerus in Anecd. Oxon. vol. III, p. 334 sqq. Usus est Dübnerus codice *Parisino* Regio 2644, Cramerus recentioribus duobus, *Barocciano* et *Meermanniano*. Titulo addunt λογιζέσθωσαν δὲ μὴ ὡς στίχοι, ἀλλ' ὥσπερ συντάγματα καταλογάδην γραφόμενα. — 5 ποιητικὴν Par. — 6 φέρων Par. Bar. — 11 πανανώνυμον codices. — 17 τις. Schol. Par. Κρατῖνος ὁ κωμικός. Ταυροσφάγους Tzetzes videri potest commentus esse, ac fortssae Meinekius rectam formam invito largitur. — 23 τὴν φαλλικὴν Par. — 28 ἐξαττικῶν Par. Probabiliter Meinekius ἐξ ἀστικῶν. — 40 καὶ πρὸ τοῖς apud Cramerum. — 45 ἀγνωστοφανῶς Cram. — 46 πόσους Bar. ποσις Meerm. πό .. Par., σον in litura. a sec. m. — 51 αὐτά πῶς codices. — 69 ὁ addidit Dübnerus. — 71 codices ἠδραίωσεν. — 73 βαθροὶ Barocc. — 74 μεμιγμένη Cramer. — 76 μοι λεκτέον Par. supra scripto νῦν. — 80 schol. : Ὁ (om. Par.) Σουσαρίων οὗτος ὁ κωμικός, φαύλης τῆς γυναικὸς τούτου φανείσης καὶ τοῦτον ἀπολειπούσης, εἰσελθὼν ἐν τῷ θεάτρῳ ἀνεφθέγξατο (Par. ἐφθέγξατο) ταδί·

> Ἀκούετε λεώ, Σουσαρίων λέγει τάδε,
> υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος
> κακὸν (κακῶν Meerm.) γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
> οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

ἰστέον δὲ ὡς τῶν Σουσαρίωνος τούτου ποιημάτων μόνα ταῦτα

τῆς δευτέρας ἦν ὁ ψόγος κεκρυμμένος,
ἧς ἦν Κρατῖνος, Εὔπολις, Φερεκράτης,
Ἀριστοφάνης, Ἕρμιππός τε καὶ Πλάτων·
καὶ τῆς τρίτης ἦν ὁ ψόγος κεκρυμμένος,
πλὴν κατὰ δούλων καὶ ξένων καὶ βαρβάρων,
ἧς ἦν Μένανδρος ἐργάτης καὶ Φιλήμων.
Τραγῳδίας μάνθανε τοὺς διδασκάλους·
Θέσπιν, Φρύνιχον, Αἰσχύλον, Σοφοκλέα·
ὕστατος αὐτὸς Εὐριπίδης Μνησάρχου,
κἄνπερ κατεῖδε τὸν σοφὸν Σοφοκλέα.
σατυρικὸν δὲ Πρατίναν οἶδα μόνον·
ἄλλους δ' ἐφευρὼν εἰ θέλεις, τέκνον, γράφε.
Εἰ δ' ἀκριβῶς ἅπαντα μανθάνειν θέλεις,
Ὅμηρος ἐστὶ καὶ πατὴρ κωμῳδίας,
καὶ σατυρικῆς ἅμα καὶ τραγῳδίας,
ἄλλης τε πάσης ἐν λόγοις εὐτεχνίας.
τούτοις δὲ κοινὸν, τοῖς τρισὶ χοροστάταις,
ἐν τετραγώνῳ τῇ στάσει καθεστάναι,
τράγον τε πρὸς δώρημα τῆς νίκης φέρειν,
καὶ δημοσίαν τὴν τροφὴν ἐσχηκέναι,
μιμητικῶς τε πάντα δρᾶν τῇ θυμέλῃ.
ὅθενπερ ἐσχήκασι κλῆσιν δραμάτων·
μίμους γὰρ ἐκτρέφοντες ἄνδρας θυμέλῃ
μιμητικοῖς ἔπραττον ἅπαντα τρόποις,
ἀνδρῶν, γυναικῶν ἐκμιμούμενοι θέας.
ταῦτα τὰ κοινὰ τῶνδε καὶ μεμιγμένα.
διαφορὰν μάνθανε τῆς κωμῳδίας,
ἧς εἰκοσιτέσσαρες οἱ χορεργάται,
ἑκκαίδεκα δὲ σατύρων, τραγῳδίας.
Κωμῳδίας ἔφημεν εἶναι τὸν γέλων,
τραγῳδίας πάλιν δὲ τὴν θρηνῳδίαν,
τῶν σατύρων γέλων δὲ καὶ θρηνῳδίαν.
κλῆσιν δὲ νῦν μάνθανε τῆς κωμῳδίας·
κώμαις στενωποῖς κώματος πρὶν ἐν χρόνῳ
ἐφευρέθη μὲν, ὡς ἔφην ἀνωτέρω,
ἀγρῶν δὲ κώμαις ἐκτελουμένη τότε,
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου,
κωμῳδίας ἔσχηκε κλῆσιν εὐλόγως.
τραγῳδία δὲ παρὰ τὴν οἴνου τρύγα,
ἐν ἧπερ ἐξέχρισαν τὰς αὐτῶν θέας,
ἢ παρὰ τὴν τρύγα δὲ τὴν δωρουμένην,
ἤτοι τὸν οἶνον Ἀττικῷ πάντως λόγῳ,
ἢ τὸν τράγον δὲ καὶ τετράγωνον στάσιν,
ἢ τὴν τραχῳδίαν τε καὶ θρηνῳδίαν.
τὸ σατυρικὸν ἐκ σατύρων εὑρέθη·
τοὺς ἀγρότας δὲ πρὶν ἐκάλουν σατύρους·
ἐκ τῶνδε γοῦν εὕρηκε τὴν κλῆσιν τόδε·
ἔσχηκε καὶ κλῆσιν δὲ ταῦτα δραμάτων,
οὐ μὴν δὲ λοιπὸν ὡς τὰ λοιπὰ γραμμάτων·
ἐδρῶντο καὶ γὰρ ἐν μίμοις πρὶν ἀνδράσιν
εἰς Τηλέφου μίμημα καὶ Φιλοκτήτου,
οὐδ' ἐν μόνοις γράμμασιν εἶχε τὴν στάσιν.
Μονῳδίαν μάνθανε σὺν αὐτοῖς, τέκνον·
γίνωσκε κυρίως δὲ τὴν μονῳδίαν,
ὅταν μόνος λέγῃ τις ἐν θρηνῳδίαις,
κατὰ δὲ παράχρησιν, ἂν λέγῃ μόνος,
ὥσπερ Λυκόφρων εἰς Ἀλεξάνδραν γράφει
ἄλλοις γὰρ ἐστὶ τραγικὸς χορεργάτης
πολλὰς γεγραφὼς καὶ σοφὰς τραγῳδίας.
ἔφην τὸ λοιπὸν καὶ μονῳδούς σοι, τέκνον·
τοὺς διθυράμβους τοιγαροῦν μοι λεκτέον.
οὗτοι λυρικὸν καὶ χορὸν καὶ τὴν στάσιν
καὶ δῶρον εἶχον. τὰ δὲ λοιπά μοι μάθε·
οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους
παμπλειστοσυστρόφητον ἔγραφον μέλος,
οἷόνπερ αὐτὸς στίχον ἀρτίως ἔφην,
ᾀσματοκαμπῶν πλειστοποικίλῳ τρόπῳ
Ταῦτα δ' ἐποίουν ἐκμιμούμενοι τρόπους
τοὺς βακχικούς τε καὶ στροφὰς πολυστρόφους·
κλῆσιν δὲ διθύραμβον ἔσχον, ὦ τέκνον,
ἐκ Διονύσου βακχικοῦ χοροστάτου,
ὅστις περ ἐξέδραμε θύρας τὰς δύο,
μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα.
Φιλόξενον δὲ τὸν Κυθήριον λέγε
τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων.
ἰαμβογράφους γλωττοτοξότας νόει
Πάριον Ἀρχίλοχον, αἰσχρὸν ἐν λόγοις,
καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων,
οὗπερ παρεισέγραψέ τις τύμβῳ τάδε·
« Οὐ βότρυν, ἀλλ' ἄχερδον ἐν τάφῳ φέρει,
« στύφοντα, πικραίνοντα πικρίᾳ λόγων·
« ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον
« τὸν ἄνδρα κνώσσειν εὐμενῶς εὔχου κάτω. »
ἰὸν δέ πως βάζοντες ἐμπίκροις λόγοις
κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.
Ποιητικὸν δὲ πᾶν ἀνωνύμως λέγε

---

κατελείφθη τὰ τέσσαρα ἰαμβεῖα· ἡ δὲ λέξις ἡ λέγουσα Τριποδίσκιος (—ισκίου ap. Cram.), τοῦ, φησὶν, ἀπὸ πόλεως Τριποδίσκου, μιᾶς τῶν Μεγαρικῶν πόλεων. — 88 Φρυνιχον sine acc. Par. Φρυνίχον Cramer. — 91 Πραττίναν Cram. — 92 schol. : τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα, γράψασιν οὕτω· τὸ δρᾶμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου καὶ ὁ Ὀρέστης καὶ ἡ Σοφοκλέους Ἠλέκτρα καὶ ὅσα τοιαῦτα σατυρικὰ ἐστὶ (εἰσι Crameri codd.) καὶ οὐ τραγικά· ἀπὸ συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσιν. οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος· ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου, αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διαφοράν· ἡ μὲν οὖν κωμῳδία δριμέως τινῶν καθαπτομένη διαβολαῖς, ἐπιλοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας (λοιδορὰς Bar.) ἔχει τὸν γέλωτα πάνυ ἡδύτατον, οἷον τὸν ἐν θυμέλαις. — 95 ὅμου καὶ male ap. Cramer. — 102 ὅθεν παρεσχήκασι ap. Cramer. — 109 ἐκκέδεκα Meerm. Barocc. omittit versus 109—113. — 117 κώμας παρ' αὐτὰς Par. librarii errore. — 120 αὐτῶν libri. — 124 τραγωδίαν Par. supra scripto χω, et addita glossa ἔστι δὲ καὶ ζῶον. — 130 versus in codice Par. rasura deletus est. — 132 γράμμας Meerm. — 134 κυρίαν Par. — 135 ὃ πανμόνος λέγῃ Par. λέγει ap. Cram. — 138 fortasse ἄλλος scribendum. Ita Alexandræ auctorem a Chalcidensi distingueret. MEINEK. — 154 φιλόξενος δὲ τὸν κιθύριον Meerm. — 164 ἐμπικρῶς ap. Cramer. — 173 τις Par. δια-

ὅπουπερ εὑρήσειας αὐτός μοι, τέκνον,
ἡρωικὸν μέτρον τε καὶ μύθους ἅμα,
λέξιν τε ποιὰν ἱστορικήν τε φράσιν.
πεντὰς δὲ τούτων ἐστὶν ἐξηρημένη,
Ὅμηρος, Ἡσίοδος, Πάνυσις τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νέοι,
ὧνπερ τὸν ἐσμὸν τίς διαγράψοι λόγος;
οὕτω τὰ πάντα σὺ μαθὼν κατ' ἀξίαν
γίνωσκε καλῶς καὶ διακρίνων βίβλους.
[ὡς τεχνικῶς βαδίζε (sic) πρὸς λόγων τρίβους.]

## X c.

## ΤΟΥ ΑΥΤΟΥ ΙΑΜΒΟΙ ΤΕΧΝΙΚΟΙ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Ἐπείπερ ἡμῶν τοῖς ἀτέχνοις πρὶν στίχοις
τριπλῆν τελεῖν εἴρηκα τὴν κωμῳδίαν,
πρώτην ὁμοῦ μέσην τε καὶ τὴν ὑστέραν,
ἔφην δὲ καὶ γνώρισμα τῶν τριῶν τότε,
οὐκ ἀκριβῶς ἔφην δὲ πᾶν μέχρι τέλους·
τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως,
πόσα μέρη τε τυγχάνει κωμῳδίας,
καὶ τῆς παραβάσεως ὁπόσα τὰ μέρη,
τίνα δὲ ταῦτα, τεχνικῶς τε πῶς πρέπει
κωμῳδίας γράφειν τε καὶ τραγῳδίας.
μέρη μέν εἰσι τέσσαρα κωμῳδίας·
πρῶτον πρόλογος, τὸ μέχρι χοροῦ τῆς εἰσόδου·
τὸ τοῦ χοροῦ μέλος δὲ δεύτερον λέγω·
ἐπείσοδος τρίτον δέ· τί δὲ τυγχάνει;
λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο·
τέταρτον ἐστὶν ἔξοδος· ταύτης μέρος
λόγος χοροῦ τις τῷ τέλει λελεγμένος.
τόσα μέρη μὲν εἰσὶ τῆς κωμῳδίας.
ἑπτὰ δὲ παραβάσεως εἰσὶ μέρη,
ἃ νῦν σαφῶς ἄκουε λεπτῷ τῷ λόγῳ.
ὁ κωμικὸς χορὸς μὲν ὀρχήστρας τόποις,
τὴν ἣν λογεῖον νῦν καλοῦμεν, ἡγμένος,
ὑποκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις
σκηνὴν πρὸς αὐτὴν ἣν ὁρῶν κωμῳδίας,
αὐτῶν ἀπελθόντων δὲ πρὸς δῆμον βλέπων,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρον·
ἐκ τετραμέτρων ἓξ τε καὶ δέκα στίχους,
ἀναπαιστικοὺς δὲ τοῖς μέτροις, ἐφθέγγετο,
ἀντιστροφὴν δ' ἔφασκεν, εἶτα δευτέρως
τοιῷδε μέτρῳ καὶ ποσῷ τόσων στίχων·
τοὺς δ' αὖ στροφῆς λόγους τε σὺν ἀντιστρόφῳ
ἅπας παλαιός πως ἐπίρρημα λέγει.
ἡ πάροδος ὅλη χοροῦ δὲ παράβασις.
ἂν οὖν ἐπὶ θέατρον ἐκ πολισμάτων
ἐδείκνυ δῆθε τὴν ὁδὸν ποιούμενος,
ἀριστερᾶς ἔβαινεν ἀψῖδος τόπων·
εἰ δ' ὡς ἀπ' ἀγροῦ, δεξιᾶς διὰ τόπων,
ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ,
ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις·
ὧν ἐκδραμόντων ἑπτάκις ἐστραμμένος
χορὸς καθώρα πρὸς διπλῆν δήμου στάσιν·
τὸ δ' ἑπτασυστρόβητον ὄρχημα τόδε
παράβασιν ἔσχε τῷ γένει (τὴν) κλῆσιν φέρειν·
ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους,
μακρὸν δὲ δὴ πνῖγός τε τὸ τρίτον πάλιν,
τέταρτον ᾠδὴ καὶ στροφὴ κλῆσιν φέρει·
τὸ πέμπτον αὐτέ τις ἐπίρρημα λέγει,
τὸ δ' ἕκτον ἔσχε κλῆσιν ἀντῳδῆς φέρειν,
ἀντιστροφῆς ἅμα τε σὺν αὐτῇ λέγω.
τὸ δ' ἕβδομόν τις ἀντεπίρρημα λέγει·
Τζέτζῃ δ' ἀρεστὸν οὐδαμῶς ἐστι τόδε,
οὐδ' αὖ τὸ πέμπτον, ἀλλά σοι ταῦτα λέγει
τὰς πρακτικὰς μὲν συστροφὰς χοροῦ δύο
σκηνὴν πρὸς αὐτὴν πρός τε τὸν δῆμον νόει
στροφὰς καλεῖσθαι, σὺν δὲ μὴν ἀντιστρόφους,
τοὺς τετραμέτρους οὓς ἔφη δὲ τῶν στίχων
τρανῶς ἐπιρρήματι τοὺς πρώτους λέγει·
τοὺς δευτέρους αὖ ἀντεπίρρημα πάλιν·
Τζέτζης μὲν αὐτὰ τῶν μερῶν τῆς ἑπτάδος
παρεξελὼν τε καὶ διώξας μακρόθεν
ᾠδὴν διαιρεῖ καὶ στροφὴν ὡς πρὸς δύο
ἀντιστροφὴν αὐτήν τε κἀντῳδὴν ἅμα·
οὕτω τε πληροῖ σοι πάλιν τὴν ἑπτάδα,
ᾠδὴν καλεῖ δὲ πρὸς θεοὺς τινὰς λόγους,
στροφὴν πάλιν δὲ τοὺς πρὸς ἄνθρωπον λόγους.
τὴν δ' ἀντοῳδὴν εἰς θεοὺς πάλιν λέγει
ἀντιστροφὴν δὲ πρὸς γονὰς ἐτησίους.

---

γράψει Meinek. — 176 om. Par. Est variatio versus 175, quales ludere solebat Tzetzes.

X c

4 γνωρισμάτων τρ. ap. Cramer. — 5 πέλους Par. — 8 ὁπόσα δὲ τὰ libri omnes. Probabiliter etiam τῆς delet Meinekius. — 21 ὁ om. Cramer. — 22 ἡγμένος Barocc. ἡμεγμ(ο') Meerm. ..γμένος Par. Primæ literæ, macula tectæ, fuisse videntur με vel μα, præmissum ab altera, ut videtur, manu ἡ. — 23 Schol. in cod. Par.: Δέκα ἑτέροις μέτροις ἐχρῶντο, ἃ περὶ τὸ τέλος τοῦδε εὕρῃς, καὶ τῷ τετραμέτρῳ τῶν ἀναπαίστων. — 26 φέρον a sec. m. Par. A pr., ut Cram., φέρων. — 29 ἀντίστροφος ἔφασκεν ap. Cramerum. — 30 πόσῳ Cram. — 31 συναντιστρόφῳ Par. — 32 παλαιὸς πῶς libri. — 33 ἡ in Par. a sec. m. In eodem inter δὲ et παράβασις superne pictum ω, a sec. m. in ο vel οι mutatum. Meerm. δὲ ὦ παραβ. Fortasse ἡ πάροδος δ' ὅλη χοροῦ παράβασις. — 34 Par. *N* ἂν οὖν, fortasse H ex superiore versu male huc delatum. ἐπιθέατρον ap. Cram. — 36 ἀψίδος libri. — 41 καθόρα ap. Cram — 43 dele τὴν. MEINEK. — 49 ἀντιστροφὴν Par. — 55 Schol. in Par.: Κατὰ τὸν Τζέτζη τὰ ἑπτὰ εἴδη τῆς παραβάσεως ἢ μέρη· ἐκβάλλει μὲν τὸ ἐπίρρημα ἐκ τοῦ πέμπτου τόπου· καὶ τὸ ἀντεπίρρημα ἐκ τοῦ ἑβδόμου. παράβασιν δὲ καλεῖ τὸ γένος, καὶ τὸ πρῶτον ὄρχημα· τρίτον μακρὸν καὶ πνῖγος· τέταρτον ᾠδὴν τὴν καὶ ἐπίρρημα· πέμπτον ἀντῳδὴν τὴν (sic Meinek. Codex πέμπτην· ἀντῳδὴ δὲ τὴν) καὶ ἀντεπίρρημα· ἕκτον στροφήν· ἕβδομον ἀντιστροφήν. — 56 τοῦ τετραμετροῦς Cramer., ex Meerm. annotans τετραμετροῖς. — 61 libri διαιρεῖν. — 64 προσθετοὺς Bar. —

ταῦτα μὲν οὕτω· καὶ ταδὶ δέ μοι μάθε,
ὡς ἡ παλαιὰ συγγραφὴ κωμῳδίας
ἦρτο πρὸς ὄγκον Ἀττικῆς γλώττης λόγοις,
ἐχρῆτο καὶ μέτροις δὲ ποικίλοις στίχων,
χορῶν τε χρείαν εἶχεν· ἡ νέα δέ γε
γλώττης σαφοῦς πρῶτα μὲν ἥρμοστο λόγοις,
πλείστῳ δὲ χρῆται τῶν ἰάμβων τῷ μέτρῳ·
καὶ δὴ σὺν αὐτοῖς καὶ χορῶν ἀποτρέχει,
τὸ τοῦ σκοποῦ δὲ πλάσμα καὶ λέξις ἅμα.
παρεισφοροῦσιν ἡδονὴν κωμῳδίαις
καὶ τὸν γέλωτα τοῖς ὁμωνύμοις πλέον
ἐσχηματισμένα τε καὶ παρῳδίαι,
καὶ κλήσεων πλάσεις δὲ καὶ μεταπλάσεις·
σὺν οἷς κορισμοὶ καὶ καταχρήσεις ἅμα.
Σκαμβῶν μετ' αὐτὰ νῦν μελῶν κλῆσιν μάθε.
λέγοντες ἦσαν ταῦτα καιροῖς τῶν πότων·
σκαμβὰ δ' ἔφασκον ὡς ἁπλᾶ μᾶλλον τάδε·
ἄλλοι δὲ φασὶν, ὡς ἀναγκαῖον πότοις
ᾄδειν ὑπῆρχε πρὸς ψαλάγματα λύρας·
ὅσοις ἐνῆν δὲ μηδαμῶς λύρας τέχνη,
δάφνης λαβόντες εἴτε μυρσίνης κλάδους,
ᾖδον καλοῦντες σκαμβὰ τὰ λύρας μέλη·
ἄλλοι δὲ τοὺς ᾄδοντας εἶπον τὴν λύραν,
οὐχὶ κατ' εὐθὺ, συστροφαῖς δὲ λαμβάνειν·
οὕτω τὸ λοιπὸν κλῆσιν ἔσχε τὰ μέλη.

## X d.

### EX CODICE COISLINIANO APUD CRAMERUM ANECD. PARIS. VOL. I, 403.

Τῆς ποιήσεως
- ἡ μὲν ἀμίμητος
  - ἱστορική
  - παιδευτική
    - ὑφηγητική
    - θεωρητική
- ἡ δὲ μιμητή
  - τὸ μὲν ἐπαγγελτικόν
  - τὸ δὲ δραματικὸν καὶ πρακτικόν
    - κωμῳδία
    - τραγῳδία
    - μίμους
    - σατύρους.

ἡ τραγῳδία ὑφαιρεῖ τὰ φοβερὰ παθήματα τῆς ψυχῆς δι' οἴκτου, καὶ ὅτι συμμετρίαν θέλει ἔχειν τοῦ φόβου· ἔχει δὲ μητέρα τὴν λύπην.

Κωμῳδία ἐστὶ μίμησις πράξεως γελοίου καὶ ἀμοίρου μεγέθους τελείου, χωρὶς ἑκάστου τῶν μορίων ἐν τοῖς εἴδεσι δρῶντος, καὶ δι' ἀπαγγελίας, δι' ἡδονῆς καὶ γέλωτος περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν· ἔχει δὲ μητέρα τὸν γέλωτα. γίνεται δὲ ὁ γέλως.

- ἀπὸ τῆς λέξεως
  - κατὰ ὁμωνυμίαν
  - συνομωνυμίαν
  - ἀδολεσχίαν
  - παρωνυμίαν
    - παρὰ πρόσθεσιν καὶ ἀφαίρεσιν
  - ὑποκόρισμα
  - ἐξαναλλαγήν
    - φωνῇ
    - τοῖς ὁμογενέσι (*)
  - σχῆμα λέξεως
- ἀπὸ τῶν πραγμάτων

ἐκ τῶν πραγμάτων γέλως
- ἐκ τῆς ὁμοιώσεως
  - χρήσει
    - πρὸς τὸ χεῖρον
    - πρὸς τὸ βέλτιον
- 'κ τῆς ἀπάτης
- ἐκ τοῦ ἀδυνάτου
- ἐκ τοῦ δυνατοῦ καὶ ἀνακολούθου
- ἐκ τοῦ παρὰ προσδοκίαν
- ἐκ τοῦ χρῆσθαι φορτικῇ ὀρχήσει
- ὅταν τις τῶν ἐξουσίαν ἐχόντων παρεὶς τὰ μέγιστα φαυλότητα λαμβάνῃ
- ὅταν ἀσυνάρτητος ὁ λόγος ᾖ καὶ μηδεμίαν ἀκολουθίαν ἔχῃ.

αις
65 ἀνθρώπων Par. Meerm. — 77 κωμωδίας Barocc. In Par. gl. καθηδύνουσι τὴν κωμῳδίαν. — 88 μυρσίνους Par. — 89 σκαμβαιὰ Par. a sec. m. — 91 συστροφῶν ap. Cramerum.

X d.

Codex est antiquissimus, n. 120, membranaceus form. in fol. et seculo decimo pulcherrima manu scriptus. Præter alia insunt varia logica schemata, quibus interposita sunt medio fol. 248 verso inter τέλος τοῦ α σχήματος et πρῶτος τόπος ἐν β σχήματι, quæ de Comœdia exscripsi. Verba credo sunt alicujus commentatoris in Aristotelis tractatum de Poetica, quæ eapropter notabiliora sunt, quod scriptor pleniorem eum quam qui ad nos pervenit, præsertim ἐν τοῖς περὶ γελοίου (v. Aristot. Rhet. 3, 18), habuisse videtur. CRAMER. — (*) Hæc φωνῇ et τοῖς ὁμογενέσι potius ad σχῆμα λέξεως trahenda sunt. MEINEK. — (†) Ad πίστις additur nota: ὅρκοι, συνθῆκαι, μαρτυρίαι, βάσανοι, νόμοι.

Διαφέρει ἡ κωμῳδία τῆς λοιδορίας, ἐπεὶ ἡ μὲν λοιδορία ἀπαρακαλύπτως τὰ προσόντα κακὰ διέξεισιν, ἡ δὲ δεῖται τῆς καλουμένης ἐμφάσεως.

Ὁ σκώπτων ἐλέγχειν θέλει ἁμαρτήματα τῆς ψυχῆς καὶ τοῦ σώματος.

Σύμμετρα τοῦ φόβου θέλει εἶναι ἐν ταῖς τραγῳδίαις, καὶ τοῦ γελοίου ἐν ταῖς κωμῳδίαις.

Κωμῳδίας ὕλη, μῦθος, ἦθος, διάνοια, λέξις, μέλος, ὄψις. Μῦθος κωμικός ἐστιν ὁ περὶ γελοίας πράξεις ἔχων τὴν σύστασιν. Ἤθη κωμῳδίας τά τε βωμολόχα καὶ τὰ εἰρωνικὰ καὶ τὰ τῶν ἀλαζόνων. Διανοίας μέρη δύο, γνώμη καὶ πίστις. (†) Κωμική ἐστι λέξις κοινὴ καὶ δημώδης. δεῖ τὸν κωμῳδοποιὸν τὴν πάτριον αὐτοῦ γλῶσσαν τοῖς προσώποις περιτιθέναι, τὴν δὲ ἐπιχώριον αὐτῷ ἐκείνῳ. Μέλος τῆς μουσικῆς ἐστιν ἴδιον· ὅθεν ἀπ' ἐκείνης τὰς αὐτοτελεῖς ἀφορμὰς δεήσῃ λαμβάνειν. Ἡ ὄψις μεγάλην χρείαν τοῖς δράμασι τὴν συμφωνίαν παρέχει. Ὁ μῦθος καὶ λέξις καὶ τὸ μέλος ἐν πάσαις κωμῳδίαις θεωροῦνται, διάνοιαι δὲ καὶ ἦθος καὶ ὄψις ἐν ὀλίγαις.

Μέρη τῆς κωμῳδίας τέσσαρα· πρόλογος, χορικόν, ἐπεισόδιον, ἔξοδος. Πρόλογός ἐστι μόριον κωμῳδίας τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ. Χορικόν ἐστι τὸ ὑπὸ τοῦ χοροῦ μέλος ᾀδόμενον, ὅταν ἔχῃ μέγεθος ἱκανόν. Ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν μελῶν. Ἔξοδός ἐστι τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ.

---

## XI.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΙΟΣ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς πατρὸς μὲν ἦν Φιλίππου, τὸ δὲ γένος Ἀθηναῖος, τῶν δήμων Κυδαθηναιεύς, Πανδιονίδος φυλῆς· ὃς πρῶτος δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον μεταγαγεῖν, πικρότερον καὶ αἰσχρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων ἢ ἔδει. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ, ἐξ οὗ τὴν ἀρχὴν λαβόμενοι Μένανδρός τε καὶ Φιλήμων ἐδραματούργησαν. εὐλαβὴς δὲ σφόδρα γενόμενος τὴν ἀρχὴν ἄλλως τε καὶ εὐφυὴς τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι λέγοντες γεγονέναι, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα. Ὕστερον δὲ καὶ αὐτὸς ἠγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ δημαγωγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας, ἐν οἷς διελέγχει αὐτοῦ τὰς κλοπὰς καὶ τὸ τυραννικόν, οὐδενὸς δὲ τῶν σκευοποιῶν τολμήσαντος τὸ πρόσωπον αὐτοῦ σκευάσαι δι' ὑπερβολὴν φόβου, ἅτε δὴ τυραννικοῦ ὄντος, μηδὲ μὴν ὑποκρίνασθαί τινος τολμῶντος, δι' ἑαυτοῦ ὁ Ἀριστοφάνης ὑπεκρίνατο, αὐτοῦ τὸ πρόσωπον μίλτῳ χρίσας, καὶ αἴτιος αὐτῷ γέγονε ζημίας πέντε ταλάντων, ἃ ὑπὸ τῶν Ἱππέων κατεδικάσθη, ὥς φησιν ἐν Ἀχαρνεῦσιν [5]

ἐγῷδ' ἐφ' ᾧ γε τὸ κέαρ ηὐφράνθην ἰδών,
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.

διήχθρευσε δὲ αὐτῷ ὁ Ἀριστοφάνης, ἐπειδὴ ξενίας κατ' αὐτοῦ γραφὴν ἔθετο, καὶ ὅτι ἐν δράματι αὐτοῦ Βαβυλωνίοις διέβαλε τῶν Ἀθηναίων τὰς κληρωτὰς ἀρχάς, παρόντων ξένων. ὡς ξένον δὲ αὐτὸν ἔλεγε παρόσον οἱ μὲν αὐτόν φασιν εἶναι Ῥόδιον ἀπὸ Λίνδου, οἱ δὲ Αἰγινήτην, στοχαζόμενοι ἐκ τοῦ πλεῖστον χρόνον τὰς διατριβὰς ποιεῖσθαι αὐτόθι, ἢ καὶ ὅτι ἐκέκτητο ἐκεῖσε. κατά τινας δέ, ὡς ὅτι ὁ πατὴρ αὐτοῦ Φίλιππος Αἰγινήτης. ἀπολυθῆναι δὲ αὐτὸν εἰπόντα ἀστείως ἐκ τοῦ Ὁμήρου [Od. A, 215] ταῦτα

μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε
οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.

δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγε, καὶ οὕτω φανερὸς κατασταθεὶς πολίτης κατεκράτησε τοῦ Κλέωνος. ὅθεν φησὶν [Ach. 377] « αὐτὸς δ' ἐμαυτὸν ὑπὸ Κλέω« νος ἅττ' ἔπαθον ἐπίσταμαι δή » καὶ τὰ ἑξῆς. φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι συκοφάντας καταλύσαντα· οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξὶν [1039] ἐν οἷς φησιν « οἳ τοὺς « πατέρας αὐτῶν ἦγχον νύκτωρ καὶ τοὺς πάππους « ἀπέπνιγον. » μάλιστα δὲ ἐπῃνέθη καὶ ἠγαπήθη ὑπὸ τῶν πολιτῶν σφόδρα, ἐπειδὴ διὰ τῶν αὐτοῦ δραμάτων ἐσπούδασε δεῖξαι τὴν πολιτείαν Ἀθηναίων ὡς ἐλευθέρα τέ ἐστι καὶ ὑπ' οὐδενὸς τυράννου δουλαγωγουμένη, ἀλλ' οὐδὲ ὅτι δημοκρατία ἐστί, καὶ ἐλεύθερος ὢν ὁ δῆμος ἄρχει ἑαυτοῦ. τούτου οὖν χάριν ἐπῃνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα τὰ ἐν τοῖς Βατράχοις [686] περὶ τῶν ἀτίμων « τὸν ἱερὸν χορὸν δίκαιον « πολλὰ χρηστὰ τῇ πόλει συμπαραινεῖν. » ὠνομάσθη δὲ ἀπ' αὐτοῦ, ἐπεὶ ἔνδοξον, τὸ μέτρον τὸ Ἀριστοφάνειον. οὕτω δὲ γέγονεν ἡ φήμη τοῦ ποιητοῦ ὡς καὶ παρὰ Πέρσαις διήκειν καὶ τὸν βασιλέα Περσῶν πυνθάνεσθαι παρ' ὁποτέροις εἴη ὁ κωμῳδοποιός. φασὶ δὲ καὶ Πλάτωνα Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν πέμψαι τὴν Ἀριστοφάνους ποίησιν καὶ συμβουλεῦσαι τὰ δράματα αὐτοῦ ἀσκη-

---

XI.

1 κωμῳδιοποιὸς Ald. et V., ut videtur. — 2 τῶν δήμων Dindorfius. τὸν δῆμον vulgo. τῶ δήμω V. Κυδαθηναιεὺς Kusterus. Κυδαθηνεὺς Ald. Κυδαθήναιος V. — 11 καὶ delevit Gelenius. — 12 ἐξεδίδου τὰ ἑαυτοῦ δράματα Reg. — 13 λέγοντες αὐτὸν et 14 ὡς ἄλλοις Reg., ut volebat Gelenius. — 21 ὁ additum ex V. — 22 χρήσας V. — 25 ἐγὼ δ' V. et Ald. γε om. V. εὐφράνθην Ald. — 28 γραφὴν κατ' αὐτοῦ vulgo. — 29 βαβυλλωνίοις V. — 31 φασι Ῥόδιον vulgo. — 33 αὐτόθι ποιεῖσθαι vulgo. — 42 ἅττ' ὦν ἔπ. V. — 47 σφόδρα additum ex V. Ib. ἐπειδὴ Dindorf. ἐπειδὴ δὲ vulgo. Ib. αὐτοῦ V. ἑαυτοῦ vulgo. — 48 τὴν τῶν Ἀθηναίων πολιτείαν vulgo. — 49 διαγωγουμένη V., ex quo 51 οὖν, 53 τὰ addita. — 56 ἐπειδὴ vulgo. — 57 sq., vide Acharn. v. 646. — 62 post ποίησιν addebatur τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν, quæ manifestum est ab recentiore grammatico

θέντα μαθεῖν αὐτῶν τὴν πολιτείαν. ἐγένετο δὲ καὶ αἴτιος ζήλου τοῖς νέοις κωμικοῖς, λέγω δὴ Φιλήμονι καὶ Μενάνδρῳ. ψηφίσματος γὰρ γενομένου χορηγικοῦ, ὥστε μὴ ὀνομαστὶ κωμῳδεῖν τινα, καὶ τῶν χορηγῶν οὐκ ἀντεχόντων πρὸς τὸ χορηγεῖν, καὶ παντάπασιν ἐκλελοιπυίας τῆς ὕλης τῶν κωμῳδιῶν διὰ τούτων αὐτῶν, αἴτιον γὰρ κωμῳδίας τὸ σκώπτειν τινάς, ἔγραψε Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἄλλα πάντα ἃ ἐζήλωσε Μένανδρος. πάλιν δὲ ἐκλελοιπότος καὶ τοῦ χορηγεῖν τὸν Πλοῦτον γράψας εἰς τὸ διαναπαύεσθαι τὰ σκηνικὰ πρόσωπα καὶ μετεσκευάσθαι, ἐπιγράφει χοροῦ, φθεγγόμενος ἐν ἐκείνοις ἃ καὶ ὁρῶμεν τοὺς νέους οὕτως ἐπιγράφοντας ζήλῳ Ἀριστοφάνους. ἐν τούτῳ δὲ τῷ δράματι συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ, καὶ Νικόστρατον καὶ Ἀραρότα, δι' οὗ καὶ ἐδίδαξε τὸν Πλοῦτον. τινὲς δὲ δύο φασί, Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη,

τὴν γυναῖκα δὲ
αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω

ἴσως αὐτοὺς λέγων.

Ἔγραψε δὲ δράματα μδ', ὧν ἀντιλέγεται τέσσαρα ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ ταῦτα, Ποίησις, Ναυαγός, Νῆσοι, Νίοβος, ἃ τινὲς ἔφασαν εἶναι τοῦ Ἀρχίππου.

---

## XII.

### ΑΛΛΩΣ.

(*Ex codice Veneto* 474.)

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς Φιλίππου μὲν ἦν παῖς Ἀθηναῖος, Κυδαθηναιεὺς τῶν δήμων· ὃς πρῶτος δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον καταστήσασθαι, πρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξε τῷ Κωκάλῳ, ἃ Μένανδρός τε καὶ Φιλήμων δράματα συνεστήσαντο. εὐλαβὴς δὲ σφόδρα γενόμενος ἄλλως τε καὶ εὐφυής, τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι αὐτὸν γεγονέναι λέγοντες, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα. ὕστερον δὲ καὶ αὐτὸς διηγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ στρατηγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας αὐτὸς ὑπεκρίνατο. ὁ δὲ ξενίας αὐτὸς κατ' αὐτοῦ ἔγκλημα ἔθετο. καὶ γὰρ δή φασί τινες αὐτὸν Ῥόδιον γεγονέναι. ἀπελύθη δὲ τὸ μὲν πρῶτον εἰπὼν

μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε
οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.

δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγεν. ὅθεν φησὶν « αὐτὸς δ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον ἐπί« σταμαι διὰ τὴν πέρυσι κωμῳδίαν· εἰσελκύσας γὰρ « μ' εἰς τὸ βουλευτήριον διέβαλλε. » φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι καταλύσαντα, οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξὶν, ἐν οἷς φησιν « οἳ τοὺς πατέρας ἦγχον νύκτωρ « καὶ τοὺς πάππους ἀπέπνιγον. » μάλιστα δὲ ἐπηνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα ἐν τοῖς Βατράχοις περὶ τῶν ἀτίμων « τὸν ἱερὸν χορὸν δίκαιόν « ἐστι χρηστὰ τῇ πόλει συμπαραινεῖν. » τὴν δὲ ποίησιν αὐτοῦ οὕτως ἔνδοξον γενέσθαι, ὡς τὸν μὲν Περσῶν βασιλέα πυνθάνεσθαι παρ' ὁποτέροις εἴη ὁ κωμῳδοποιός, Πλάτωνα δὲ Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν, πέμψαι τὴν Ἀριστοφάνους ποίησιν, τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν. τελευταῖον δὲ διδάξας τὸν Πλοῦτον συν-

---

temere esse inserta. DIND. — 65 χορηγικοῦ Meinekius Quæst. scen. 1, p. 35. Legebatur χορηγοῦ. — 69 post ἔγραψε addebatur κωμῳδίας τινάς. De quo dixi ad fragm. p. 567 ed. Oxon., 465 ed. Paris. DIND. — 74 ἐπιγράφη V. — 75 ἐπιγράφοντας οὕτω vulgo. — 82 δ' libri. — 87 Νίοβις vulgo. νίοφος V. Post Ἀρχίππου in V. et Ald. hæc sequuntur : Ὁ κωμικὸς χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ'. καὶ εἰ μὲν ὡς ἀπὸ τῆς πόλεως ἤρχετο ἐπὶ τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἁψῖδος εἰσῄει, εἰ δὲ ὡς ἀπὸ ἀγροῦ, διὰ τῆς δεξιᾶς, ἐν τετραγώνῳ σχήματι, ἀφορῶν εἰς τοὺς ὑποκριτάς. ἀναχωρούντων δὲ τῶν ὑποκριτῶν ἑπτάκις ἐστρέφετο ὁ χορός, προσέχων ἐφ' ἑκάτερα μέρη τοῦ θεάτρου. ἐκαλεῖτο δὲ τῷ γένει τὸ τοιοῦτον ὄνομα (ὄρχημα V. Corrigendum videtur σχῆμα. DIND.) τῆς ὀρχήσεως παράβασις, ὁμωνύμως τῷ γένει. τὸ τρίτον μακρὸν, τὸ καὶ πνῖγος. τὸ (τὸ om. Ald.) τέταρτον στροφὴ ἢ ᾠδή. τὸ πέμπτον ἐπίρρημα. τὸ ἕκτον ἀντίστροφος ἢ ἀντῳδή. τὸ ἕβδομον ἀντεπίρρημα. (Addit V. : σκολιὰ λέγεται τὰ πάροινα μέλη τὰ ἐν τοῖς συμποσίοις ᾀδόμενα. καὶ ὡς μὲν ἔνιοί φασιν ἐκ τοῦ ἐναντίου προσηγορεύθησαν· ἁπλᾶ γὰρ αὐτὰ ἐχρῆν εἶναι καὶ εὔκολα ὡς παρὰ πότον ᾀδόμενα. οὐκ εὖ δὲ τοῦτο· τὰ γὰρ δύσφημα ἐπὶ τὸ εὐθυμότερον μεταλαμβάνεται, οὐ τὸ ἔμπαλιν. τί οὖν ἐπάναγκες ἦν τὸ ἐν συμποσίοις ἅπασιν ᾄδειν μετὰ λύρας; ὅσοι δὲ οὐκ ἠπίσταντο λύρᾳ χρῆσθαι, δάφνης ἢ μυρρίνης (μυρίνης V.) κλῶνας λαμβάνοντες ᾖδον. ἐπὶ τοῖς οὖν οὐκ ἐπισταμένοις μέλη πρὸς λύραν ᾄδειν σκολιὰ ἐδόκει· ὅθεν καὶ σκολιὰ ὠνομάσθησαν. τινὲς δὲ οὕτως οὐ κατὰ τὸ ἑξῆς φασι δίδοσθαι τὴν λύραν, ἀλλ' ἐναλλάξ. διὰ τὴν σκολίαν οὖν καὶ μὴ ἐπ' εὐθείας τῆς λύρας περιφέρειαν σκολιὰ ἐλέγετο.) — Ὑποκριταὶ Ἀριφτοφάνους Καλλίστρατος καὶ Φιλωνίδης, δι' ὧν ἐδίδασκε τὰ δράματα ἑαυτοῦ, διὰ μὲν Φιλωνίδου τὰ δημοτικά, διὰ δὲ Καλλιστράτου τὰ ἰδιωτικά.—Πόσα μέρη κωμῳδίας; α'. πρόλογος τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ μέρος. β'. χορικὸν τὸ τοῦ (τοῦ om. V.) χοροῦ διδόμενον (fort. ᾀδόμενον, μέλος γ'. ἐπεισόδιον τὸ μεταξὺ δύο χορικῶν μελῶν. δ'. ἔξοδον τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ. εἴρηται δὲ καὶ πόσα μέρη παραβάσεως. ἡ δὲ παράβασις (hæc tria verba om. Ald.) τοῦ χορικοῦ.

XII.

Est etiam in Regio. — 1 sq. γένει μὲν ἦν Ἀθηναῖος, πατρὸς δὲ Φιλίππος, τὸν δῆμον Κυδαθηνεύς, Πανδιονίδος φυλῆς. ὃς Reg. Κυδαθηναῖος V. — 4 χρησ. καὶ om. Reg. « Præstat μεταστήσασθαι. » DIND. — 7 sq. τῷ Κωκ. — συνεστήσ. om. Reg. — 8 σφόδρα om. Reg. — 10 ἐξεδίδου τὰ ἑαυτοῦ δρ., 12 γεγονέναι (hoc repetit) ὡς ἄλλοις Reg. — 13 αὐτοῦ V.— 15 ξενιτείας κατ' Reg. recte.— 16 δὴ φάσκει V. γὰρ ἔφησαν αὐτόν τινες, 17 γεγ., ἕτεροι δὲ Λίνδιον, οὔσης καὶ τῆς Λίνδου ὑποτελοῦς τῇ Ῥοδίων. ἀπελ. Reg. — 21 ἀ'παθον Reg. ἃ πάθον V. — 23 με—διέβαλε, 24 συκοφάντας τινὰς καταλ. Reg., qui 30 συμπαραινεῖν habet ante δίκαιόν. — 33 Πλάτων V. Reg. — 36 δὲ τὸ τοῦ Πλούτου δρᾶμα

ἔστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν δύο, Ἀραρότα καὶ Φίλιππον, ὡς αὐτὸς ἐπεμνήσθη

τὴν γυναῖκα δὲ
αἰσχύνομαι τώ τ᾽ οὐ φρονοῦντε παιδίω,

Ἀραρότα ἴσως καὶ Φίλιππον λέγων. ἀναγράφει δὲ καὶ τρίτον Νικόστρατον. κατέστρεψε δὲ τὸν βίον διαφερόντως τιμηθεὶς καὶ πολλὰ στεφανωθείς. κατέλειψε δὲ δράματα μγ′. ἐν τούτοις τὰ ἀντιλεγόμενα δ′. ἀποθανόντι δὲ αὐτῷ ἐπὶ τῷ μνήματι παρὰ Πλάτωνος ἐπίγραμμα τοιοῦτον γέγραπται·

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ ουχὶ πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

## XIII.

### ΑΛΛΩΣ.

(*Ex scholiasta Clarkiano Platonis Apolog. p.* 19, *C* , *in Porsoni Miscellan. p.* 268 *ed. Kidd.*)

Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς καὶ αὐτός φησιν Εἰρήνῃ [771]. ἐκωμῳδεῖτο δ᾽ ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ᾽ αὐτόν. Κρατῖνος,

Χρῶμαι γὰρ αὐτοῦ (φησὶ) τοῦ στόματος τῷ στρογγύλῳ,
τοὺς νοῦς δ᾽ ἀγοραίους ἧττον ἢ ᾽κεῖνος ποιῶ.

καὶ αὐτὸς δ᾽ ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις

Τίς δὲ σύ; κομψός. . . . τις ἔροιτο θεατής·
ὑπολεπτόλογος, γνωμιδιώκτης, εὐριπιδαριστοφανίζων.

Ἀριστώνυμος δ᾽ ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διότι τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασὶ γεννηθῆναι. τρεῖς δὲ εἶχεν υἱοὺς, Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον, καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένων, καὶ τρίτον ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης φησὶν ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.

## XIV.

### ΑΛΛΩΣ.

(*Ex Suida.*)

Ἀριστοφάνης, Ῥόδιος, ἤτοι Λίνδιος· οἱ δὲ Αἰγύπτιον ἔφασαν· οἱ δὲ Καμειρέα· θέσει δὲ Ἀθηναῖος· ἐπολιτογραφήθη γὰρ παρ᾽ αὐτοῖς· κωμικὸς, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ′ Ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου· παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον, κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ′. Ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα· Ἀχαρνεῖς Βάτραχοι Εἰρήνη Ἐκκλησιάζουσαι Θεσμοφοριάζουσαι Ἱππεῖς Λυσιστράτη Νεφέλαι Ὄρνιθες Πλοῦτος Σφῆκες.

## XV.

### ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς γένει μὲν ἦν Ἀθηναῖος, πατρὸς δὲ Φιλίππου, μητρὸς δὲ Ζηνοδώρας, τὸν δὲ δῆμον Κυδαθηναῖος, Πανδιονίδος φυλῆς. πάνυ δὲ ὢν εὐφυὴς καὶ ἀγχίνους ἐπὶ τοσοῦτον ἐν νέᾳ κομιδῇ τῇ ἡλικίᾳ ηὐδοκίμησεν ἐν κωμῳδίαις ὡς οὐ μόνον τοὺς κατ᾽ αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ ὑπερᾶραι· μᾶλλον δὲ οὐδὲ τοῖς ἐπιγιγνομένοις παρῆκεν ὑπερβολὴν, ἀλλὰ καὶ τούτους μετὰ πολλοῦ τοῦ περιόντος παρῆλθεν. οὔκουν ἀνεφάνη τις ὕστερον Ἀριστοφάνει παραπλήσιος. διὰ τοῦτο καὶ παρὰ τοῖς βασκάνοις αὐτοῖς ἀξιοῦται θαύματος. δράματα δὲ τέσσαρα πρὸς τοῖς πεντήκοντα γέγραφεν, ἅπαντα εὐμουσίας καὶ χάριτος Ἀττικῆς μεστὰ, καὶ πείθοντα τοὺς ἀκούοντας θαυμάζειν τε καὶ κροτεῖν. οὕτω δὲ τοῦ τῆς πολιτείας συμφέροντος ἐποιεῖτο λόγον, ὡς μηδένα τῶν ἐπὶ τῆς λαμπρᾶς τύχης οὐδέποτε ἀποσχέσθαι τοῦ σκώπτειν, εἰ ἀδικοῦντος ᾔσθετο. ὅθεν καὶ τὴν παρρησίαν αὐτοῦ δεδιότες οἱ τοιοῦτοι μετρίους σφᾶς αὐτοὺς παρεῖχον ἀεὶ καὶ τῷ δήμῳ λυσιτελοῦντας. ἔσχε δὲ τρεῖς υἱοὺς, Φίλιππον, Νικόστρατον καὶ Ἀραρότα. ἀποθανόντα δὲ οὕτω Πλάτων ἐτίμησεν ἐν ἐπιγράμματι ἡρωελεγείῳ

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

---

ἐκδοὺς, 37 Ἀραρότα καὶ Φίλιππον, 38 sq. καταλιπὼν τούτους δὴ τοὺς παῖδας, ὡς καὶ αὐτὸς, 40 δὲ om., 41 τοῦ τ᾽ οὐ φρονέοντε Reg., 42 ἴσως omittens. — 44 sq. κατέλιπε δε δράματα νδ′, ὧν ἀμφιβαλλόμενα εἰσὶ δ′ Reg. reliquis omissis.

XIII.

7 Indicavi lacunam. πᾶς ἄν inserit Porsonus. Dind. — 10 legebatur διό.

XIV.

4 ριδ′. Error manifestus. Prima enim Aristophanis fabula, Dætalenses, archonte edita est Diotimo, i. e. olymp. 88, 1. — 8 νδ′ editio Mediol., correctum ex tribus codicibus optimis. Ib. « πεπράχαμεν, verte, *quæ autem tractavimus Aristophanis dramata hæc sunt.* » Hemst.

XV.

Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ θωμᾶ codex Laurentianus plutei 31, 4. Ἄλλως περὶ αὐτοῦ Reg. — 1 κωμῳδιοποιὸς Ald. — 2 μητρὸς δὲ Ζηνοδώρας addidi ex Laurent. plutei 31, 13, et Monacensi. Mirum unde Thomas Magister hoc nomen sumpserit, quod alienum videtur ab ætate Aristophanis. Non habet Laurent. 31, 4. Dind. — 5 εὐδοκ., 9 οὐ γὰρ ἀνεφ. Reg. — 12 δύο, non τέσσαρα, Reg. — 16 μηδέποτε, 17 ἀδικοῦντος ἢ ἄλλως ᾔσθετο κακουργοῦντος Reg. ὅθεν καὶ Laur. 31, 13. Aberat καί. — 18 δεδοικότες idem Laur. — 20 Νικόμαχον margo ejusdem

Ἰστέον ὅτι κωμῳδία ἐκλήθη ἀπὸ τοῦ ἐν κώμαις ᾄδεσθαι τὰς κωμῳδίας (κώμας δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς στενωποὺς) ἢ ἀπὸ τοῦ ἐν ταῖς κωμάσεσι τοῦ Διονύσου πρῶτον ἐπινοηθῆναι ταυτασὶ, ἢ παρὰ τὸ κῶμα, ὁ ὕπνος. φασὶ γὰρ ὡς πρὸ τοῦ εὑρεθῆναι τοὺς κωμικοὺς ποιητὰς ἀδικούμενοί τινες ὑπό τινων ἀφανῶς ἤρχοντο ἐν νυκτὶ ἐπὶ τοὺς τῶν ἀδικούντων στενωποὺς, βοῶντες, ὁ δεῖνα ἀδικίᾳ χαίρει καὶ τὰ καὶ τὰ πράττει, θεῶν ὄντων καὶ νόμων· καὶ τούτων λεγομένων οἱ συνειδότες ἑαυτοῖς ταῦτα σώφρονες ἐγίνοντο τοῦ λοιποῦ. ἐπεὶ οὖν ἄριστα τοῦτο ἔχον ἐδόκει καὶ τῇ πολιτείᾳ συνοῖσον, ἅτε τῆς μὲν ἀδικίας ἐντεῦθεν παντάπασιν ἀναιρουμένης, δικαιοσύνης δὲ ἀντεσαγομένης καὶ τρόπων χρηστῶν, ἐτάχθησαν ἐπὶ τοῦτο οἱ κωμικοὶ ποιηταὶ, ἐν μέρει παιδιᾶς σκώμματά τε τῶν ἀδικούντων καὶ διδαχὴν ὧν προσῆκεν ἐργαζόμενοι. ἤδοντο δὲ αἱ κωμῳδίαι ἐν τοῖς Διονυσιακοῖς, ἔαρος ὥρᾳ.

## XVI.

### ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ ΕΙΣ ΑΡΙΣΤΟΦΑΝΗΝ.

(*In Anthologia Palat.* IX, 186.)

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος, αἷσιν Ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνίδ' ὅσον Διόνυσον ἔχει σελὶς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ ἤθεσιν Ἑλλάδος ἶσα
κωμικὲ, καὶ στύξας ἄξια καὶ γελάσας.

### ΔΙΟΔΩΡΟΥ

#### ΕΠΙΤΥΜΒΙΟΝ

(*In V. et Anthologia Palat.* VII, 38.)

Θεῖος Ἀριστοφάνευς ὑπ' ἐμοὶ νέκυς, εἴ τινα πεύθῃ
κωμικὸν, ἀρχαίης μνᾶμα χοροστασίης.

## XVII.

### ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ.

Ἴστεον ὅτι πάντα τὰ μέτρα, πλὴν τοῦ δακτυλικοῦ, κατὰ διποδίαν μετρεῖται καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον τὸ ἔχον πόδας β', δίμετρον τὸ ἔχον πόδας δ', τρίμετρον τὸ ἔχον ϛ', τετράμετρον τὸ ἔχον η', πεντάμετρον τὸ ἔχον ι'· καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου, πλὴν τοῦ δακτυλικοῦ, ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικὸν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν, ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν· οἷον τὸ φεῦ φεῦ· ἢ τὸ ἰὼ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα, διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν· οἷον τὸ ἰώ μοι, ἢ τὸ ὤμοιμοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ, διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν, ἤτοι ἥμισυ ποδὸς, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰοὺ, ἢ τὸ ἰὼ ἰὼ, ἢ τὸ φεῦ φεῦ ἰώ. ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα, διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς, ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δὲ τὸ ἔχον ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται, διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον· ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν· ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

#### Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου.

Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν (συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται, ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα οὐδεμιᾶς τινος μετέχει δυνάμεως, συλληφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει· ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπὰ, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας· πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδὶ —, τῆς δὲ βραχείας τουτὶ ᴗ, τῆς δὲ κοινῆς οὐδαμῶς· ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο, ταύτης δὲ οὔ. καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν), ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην· καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ

---

codicis. — 25 et seqq. non cohærent cum antecedentibus nec fortasse scripta sunt a Thoma M. Omittit Laur. 31, 13: habet 31, 4. Dind. Omittit etiam Reg.

XVI.

7 Ἐπίγραμμα ἐπιτύμβιον εἰς τὸν Ἀριστοφάνην V., Diodori nomen omittens. Nihil inscriptum in Reg. — 1 Ἀριστοφάνης et κεύθει Reg. ἐμοῦ V. — 2 ἀρχαῖον (a pr. m ἀρχαίων) μνῆμα χοροστασίας Reg.

XVII.

Præcedunt in Ald. excerpta quædam de metris ex Hephæstione, quæ ut inutilia omisi: repetii vero Tricliniana, quæ tanquam prolegomena sunt scholiorum metricorum, de quibus in præfatione dixi. Eadem omnia exstant in codice Laurentiano plutei 31, 4, nulla cum memorabili scripturæ diversitate. Dind.

σημεῖον, διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ L, μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ἰῶτα στοιχείου σημεῖον ἔχουσα, ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσὶ Ꞁ, μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ἰῶτα σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν, ποία ἐστὶν ἡ κοινή, ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποεῖν ἀμαθῶς· καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ἀμετάβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν, ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν, ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε. ταῦτά μοι πρὸς τοὺς συνετοὺς εἴρηται καὶ τῶν μέτρων ἔχοντας πεῖραν. εἰ δέ τινες εἶεν ὑπ' ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες· ὡς καί που τις ἔφη

Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπιθέσθε βέβηλοι.

ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετοὺς ὃς ἂν ἐπινοήσας σοφόν τι τοῦτο λήθης βυθοῖς κατακρύψειε, δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. ἵν' οὖν μὴ καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετούς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προὔθηκα, οὗτοι δ' ἂν εἰδεῖεν, εἰ καλῶς ἔχει ἢ μή· ἐπεὶ καὶ ἅ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θείᾳ τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει, πλεῖστα πονησαμένῳ περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδούς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν δρᾶν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι, ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

J. Gelzer, Gnomon 1961, 26 ff. ad
W. J. W. Koster, Autour d'un manuscrit d'Aristophane écrit par Demetrius Triclinius, Groningen 1957

C. Strecker, De Lycophrone, Euphronio, Eratosthene comicorum interpretibus, Diss. Greifswald 1884

P. Boudreaux, Le texte d'A. et ses commentateurs, Paris 1919

W. Kraus, Testimonia Aristophanea cum scholiorum lectionibus, Denkschr. Ak. Wien 70, 2, 1931

G. Zuntz, Die A.-Scholien der Papyri, Byzantion 13, 1938, 631; 14, 1939, 545

C. Zacher, Die Handschriften u. Classen der A.-Scholien, Jb f. Class. Phil. Suppl. Bd. 16, 1888

Scholia in Aristoph. Prol. Ach. Equ. Nub., Groningen 1975

J. RE Aristophanes Kaibel
Gelzer (Suppl XII 1971)
Scholien 2, 1A (1921) 672-80 (Gudeman)